Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,22, πλάτ. 0,15, κατὰ τὴν ΙΖ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 281. Περιέχει καὶ τοῦτο: Βίους ἁγίων καὶ Λόγους Πατέρων ἀναμίξ, οἷον: Ἐφραὶμ τοῦ Σύρου, τοῦ Χρυσοστόμου, καὶ Διηγήσεις εἰλημμένας ἐκ τῶν λεγομένων Γεροντικῶν.

1018.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,17, πλάτ. 0,13, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 261 συγκείμενον. Περιέχει: τὸν Βίον καὶ πολιτείαν τοῦ ὁσίου Βασιλείου, τοῦ ἀκμάσαντος ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ Σοφοῦ, καὶ Ἀλεξάνδρου.

1019.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,16, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 159. Περιέχει Λόγους τινὰς καὶ Βίους καὶ Μαρτύρια ἁγίων· ὧν προηγεῖται ἡ Διάλεξις τοῦ Παναγιωτάκη Νικουσίου μετὰ τοῦ Βανῆ ἐφένδη σοφοῦ διδασκάλου τῶν Ἀγαρηνῶν. Τὰ τῶν ἁγίων Μαρτύρια καί τινες Ἑρμηνεῖαι εἰς

τὰ Εὐαγγέλια εἰσὶν ἐν φωνῇ τουρκικῇ χαρακτῆρσιν ἑλληνικοῖς γεγραμμένα, χάριν τῶν ἐν τῇ Μικρασίᾳ τουρκοφώνων Ἑλλήνων.

1020.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,23, πλάτ. 0,15, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 209 συγκείμενον. Περιέχει: Βίους καὶ Μαρτύρια ἁγίων ἐν φράσει κοινῇ· ἐν οἷς καί: Βίον καὶ πολιτείαν τοῦ ὁσίου Ἰωάννου τοῦ Κουκουζέλη καὶ μαΐστορος τῆς μουσικῆς ἐπιστήμης. Εἶθ' οὕτως εὑρηται: Ἀνωνύμου Ἐπιστολὴ γεγραμμένη ἐν Μέμφιδι τῆς Αἰγύπτου τῷ ᾳχλϐ' ἑκατομϐαιῶνος ζ' ἱσταμένου τῷ ὁσιωτάτῳ καὶ θεοσεϐεστάτῳ ἐν ἱερομονάχοις καὶ πνευματικοῖς πατράσι παπᾷ κὺρ Μαξίμῳ. Καὶ μετὰ ταύτην: Μητροφάνους τοῦ σοφωτάτου ἱερομονάχου καὶ μεγάλου ἀρχιμανδρίτου Ἀλεξανδρείας τοῦ Κριτοπούλου Ἔκθεσις σύντομος περὶ μετανοίας καὶ ἐξομολογήσεως. Ἕπεται δὲ ταύτῃ: Περιγραφὴ τοῦ ἁγίου ὄρους Σινᾶ.

1021.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,15, κατὰ τὸ ,ζκϛ' (+ 1518) ἔτος, ὡς σημειοῦται ἐν τῷ τέλει γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 235. Περιέχει: Βίους καὶ Μαρτύρια ἁγίων ΝΒ' ἐν συνόλῳ.

1022.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,19, πλάτ. 0,15, κατὰ τὸ 1632 ἔτος γεγραμμένον ὑπὸ γραφέως ἀμαθεστάτου, ἐκ φύλλων δὲ 445 συγκείμενον, ἀλλ' ἐλλιπὲς τῆς ἀρχῆς. Περιέχει: Βίους καὶ Μαρτύρια ἁγίων καί τινας Λόγους Πατέρων καὶ διαφόρους Διηγήσεις ὠφελίμους, ὡς ἐπιγράφονται. Τὰ πάντα εἰσὶν ἐν φράσει κοινῇ.

1023.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,16, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 114. Περιέχει: Βίους καὶ Μαρτύρια ἁγίων ἐν φράσει κοινῇ.

1024.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,16, κατὰ τὴν ΙΖ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 61, ἄνευ ἀρχῆς καὶ τέλους. Πραγματεύεται: Περὶ τῆς κατὰ τοῦ ἱεροῦ Χρυσοστόμου συνελθούσης ἐν Κωνσταντινουπόλει Συνόδου ἐπὶ Ἀρκαδίου τοῦ αὐτοκράτορος, καὶ ἔστιν ἐν φράσει κοινῇ.

1025.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,23, πλάτ. 0,17, κατ' ἀρχομένην τὴν ΙϛΙ' ἑκατονταετηρίδα γεγραμμένον ἐκ φύλλων δὲ συγκείμενον 97, ἀλλ' ἐλλιπὲς τῆς ἀρχῆς. Περιέχεται ἐν αὐτῷ Ἰωάννου τοῦ Δαμασκηνοῦ: ἡ Ψυχωφελὴς Ἱστορία, ἤτοι ὁ Βίος τῶν ἁγίων Βαρλαὰμ καὶ Ἰωάσαφ.

1826.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,11, πλάτ. 0,8, κατὰ τὴν ΙΖ' ἑκατονταετηρίδα γεγραμμένον, ὑπὸ διαφόρων χειρῶν, ἐκ φύλλων δὲ συγκείμενον 617. Περιέχει: Βίους καὶ Μαρτύρια ἁγίων καὶ Διηγήσεις θαυμάτων.

1027.

Τεῦχος περγαμηνὸν μήκ. 0,26, πλάτ. 0,19, κατὰ τὴν ΙΔ' ἑκατονταε-

τηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 416. Περιέχει: Βίους καὶ Μαρτύρια ἁγίων κατ' ἐκλογὴν ἐκ τοῦ ὅλου ἐνιαυτοῦ. Ἐν δὲ τῷ μεταξὺ εἰσὶν ἐγκατεσπαρμένοι καὶ Λόγοι τινὲς ἑορταστικοί.

1028.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,15, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 22. Περιέχει: Παρεκβολὴν ἐκ τοῦ Βίου τοῦ ἁγίου Ἀνδρέου τοῦ διὰ Χριστὸν Σαλοῦ.

1029.

Τεῦχος περγαμηνὸν μήκ. 0,29, πλάτ. 0,20, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 305, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Περιέχει: τὰ Συναξάρια τῶν μηνῶν Σεπτεμβρίου ἕως τῆς κς' Φεβρουαρίου. Σημειωτέον δὲ ὅτι τὰ ἀπὸ τοῦ ἀριθμοῦ τούτου καὶ ἐφεξῆς δώδεκα τεύχη ἀποτελοῦσι τὸν λεγόμενον Συναξαριστὴν Μαυρικίου τοῦ διακόνου. (1).

1030.

Γεῦχος περγαμηνὸν μήκ. 0,30, πλάτ. 0,22, κατὰ τὴν ΙΓ' ἴσως ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 161. Ἄρχεται ἀπὸ τῆς κς' Ὀκτωβρίου καὶ τελευτᾷ εἰς τὴν κδ' τοῦ Αὐγούστου.

1031.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,31, πλάτ. 0,20, κατὰ τὸ ,ζπη' (+ 1579) ἔτος, ὡς σημειοῦται ἐν τῷ τέλει, γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 437. Περιέχει τοὺς μῆνας Μάρτιον μέχρι τέλους Αὐγούστου.

1032.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,32, πλάτ. 0,22, κατὰ τὸ ,ζνθ' (+ 1551) ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ συγκείμενον 380. Περιέχει μῆνας ἓξ ἀπὸ τῆς α' Σεπτεμβρίου μέχρι τῆς κς' Φεβρουαρίου.

1033.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,31, πλάτ. 0,21, κατὰ τὸ 1602 ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ συγκείμενον 527. Περιέχει μῆνας ἓξ ἀπὸ τῆς α' Σεπτεμβρίου μέχρι τῆς κθ' Φεβρουαρίου.

1034.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,30, πλάτ. 0,21, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 291, ἀλλ' ἐλλιπὲς τῆς ἀρχῆς. Περιέχει μῆνας ἑπτὰ ἤτοι ἀπὸ τῆς 6' Σεπτεμβρίου μέχρι τῆς λα' Μαρτίου.

1035.

Τεῦχος περγαμηνὸν μήκ. 0,32, πλάτ. 0,21, κατὰ τὴν ΙΓ' ἴσως ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 187, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Περιέχει μῆνας ἓξ, ἤτοι ἀπὸ τῆς α' Σεπτεμβρίου μέχρι τῆς κγ' Φεβρουαρίου.

---

(1) Συναγαγὼν οὗτος, ὡς γνωστὸν, ἀπὸ τῶν πρὸ αὐτοῦ βιογράφων καὶ, πρώτιστα πάντων, ἀπὸ Συμεῶνος τοῦ Μεταφραστοῦ, τοὺς ἐν πλάτει Βίους ἐπέτμεν αὐτούς.

1036.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,32, πλάτ. 0,21, κατὰ τὸ ,ζνδ' (+ 1551) ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ συγκείμενον 315. Περιέχει μῆνας ἓξ, ἀπὸ τῆς α' Μαρτίου μέχρι τῆς λα' Αὐγούστου.

1037.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,30, πλάτ. 0,22, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 203, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει, πολλαχοῦ δὲ διάβρωτον ὑπὸ τῶν σητῶν, καὶ ὑπὸ τῆς νοτίδος βεβλαμμένον. Περιέχει μῆνας ἓξ ἤτοι ἀπὸ τῆς α' Σεπτεμβρίου μέχρι τῆς κζ' Φεβρουαρίου.

1038.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,29, πλάτ. 0,21, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 218, οὗ ἐκ τῆς ἀρχῆς ἀπεσχίσθησαν δέκα φύλλα· ἀλλὰ καὶ τὸ τέλος αὐτοῦ ἐστιν ἐλλιπές. Περιέχει μῆνας ἓξ ἀρχομένους ἀπὸ τῆς θ' Σεπτεμβρίου μέχρι τῆς κη' Φεβρουαρίου.

1039.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,28, πλάτ. 0,20, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 165. Περιέχει μῆνας ἓξ ἤτοι ἀπὸ τῆς α' Μαρτίου μέχρι τῆς λ' Αὐγούττου.

1040.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,22, πλάτ. 0,14, ὑπὸ δύο διαφόρων χειρῶν γεγραμμένον, ἐκ φύλλων δὲ 314 συγκείμενον. Τούτου προτέτακται Συναξαριστὴς ἓξ μηνῶν, ἤτοι ἀπὸ τῆς α' Μαρτίου ἕως τέλους Αὐγούστου, γραφεὶς κατὰ τὸ ,ϛωπθ' (+ 1381), ὡς σημειοῦται ἐν τῷ τέλει. Εἶθ' οὕτως ἄρχεται ἡ τῆς ἑτέρας χειρὸς γραφή, ἥτις ἐστὶ τῆς ΙΕ' ἑκατονταετηρίδος. Ἔχουσι δὲ τὰ περιεχόμενα ὡς ἑξῆς: «Σὺν Θεῷ Ὅροι διάφοροι κατὰ τὴν παράδοσιν καὶ πίστιν τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας συλλεγέντες ἀπὸ Κλήμεντος πάπα Ῥώμης καὶ ἑτέρων ὁσίων καὶ μακαρίων Πατέρων». — Ἐκλογαὶ ἐκ τῆς εἰς τὰ Εὐαγγέλια ἐξηγήσεως Θεοφυλάκτου τοῦ Βουλγαρίας. — Καὶ μετά τινα, ὡς ἐν παρέργῳ ἐγκατεσπαρέντα, Στίχοι ἰαμβικοὶ εἰς τὸν ναὸν τοῦ ἁγίου Γεωργίου (1), οὓς καὶ ἐκδίδομεν ὧδε:

Τὸ θαῦμα τῆς γῆς, οὐρανοῦ τὴν ἀψῖδα,
Τὸ τερπνὸν ὡράϊσμα τῶν ἀνακτόρων,
Τὸν φῶς ἀπαστράπτοντα πάγχρυσον δόμιον
Τοῦ φωτολαμποῦς μάρτυρος Γεωργίου,
5 Ὁρῶν καταπλάγηθι πᾶς τις ἐνθάδε.
Ἔνδον τὰ σεπτὰ τῶν ἀπορρήτων φέρει·
Ἔξω τὸ κάλλος ἡλίου πρὸς τὸν κύκλον
Σοφῶς συνάπτει, καὶ σὺν αὐτῷ τὴν κτίσιν
Λαμπρῶς δᾳδουχεῖ καλλοναῖς ἀσυγκρίτοις·
10 Ὃν ἐκ πόθου ζέοντος ἠνθρακωμένον

(1) Νόει μοι τὸν ἐν τῇ μονῇ τῶν Μαγγάνων. Οἱ δὲ στίχοι εἰσὶν ἴσως τοῦ ψωμοκόλακος τῆς τοῦ Μονομάχου αὐλῆς Μιχ. Ψελλοῦ, τοῦ καὶ ὑπάτου τῶν φιλοσόφων σεμνυνομένου.

Καὶ πίστεως ἄνωθεν ἀρραγεστάτης
Ὁ γῆς ἀνάσσων ἥλιος Μονομάχος,
Ὁ παμμέγιστος εὐσεβὴς Κωνσταντῖνος,
Τὸ πορφύρας φῶς, τῶν ἀνάκτων τὸ στέφος,
15 Ὁ Χριστὸν αὐτὸν ἔνδον ἐν ψυχῇ φέρων
Σὺν τῇ συλλέκτρῳ νῦν ἀνάσσῃ τοῦ γένους,
Χρυσῇ σελήνῃ παμφαεῖ σελασφόρῳ,
Ζωῇ μεγίστῃ Δεσποίνῃ χρυσοστύλῳ,
Καὶ Θεοδώρᾳ πανσέμνῳ βασιλίδι,
10 Ἤγειρεν, ἐξήνθησεν εἰς κάλλος ξένον,
Εἰς θαῦμα μεῖζον τῶν Σολομῶντος δόμων,
Εἰς δόξαν, εἰς καύχημα τῆς σκηπτουχίας.
Οἷς, Χριστὲ σῶτερ, παμβασιλεῦ τῶν ὅλων,
Νίκας, τρόπαια, καὶ χρόνων μῆκος νέμοις,
25 Καὶ πρὸς τὸ μέλλον τῆς βασιλείας κλήρους,
Ὦ μήτηρ δυςωπεῖ παντάνασσα Παρθένος,
Ὑπὲρ λόγον Σέ τὸν θεάνθρωπον Λόγον
Τεκοῦσα καὶ φέρουσα νῦν ἐν ἀγκάλαις,
Σὺν τῷ φαεινῷ φωςφόρῳ Γεωργίῳ
31 Καὶ πᾶσιν ἄλλοις μάρτυσι στεφηφόροις.

Στίχοι [Ἰωάννου τοῦ Εὐχαΐτων εἰς τὴν ἑαυτοῦ οἰκίαν]. — Στίχοι εἰς τὸν βασιλέα Κωνσταντῖνον τὸν Μονομάχον (1). — Στίχοι ἐπιτάφιοι εἰς τὸν βέσταρχον Ἀναστάσιον ὕπατον καὶ κριτὴν τὸν Λή.. ικα, τὸν διὰ τοῦ ἁγίου καὶ μεγάλου σχήματος Ἀθανάσιον μετονομασθέντα, γενόμενοι παρὰ Βασιλείου πρωτοσπαθαρίου, πρωτασηκρῆτις, καὶ κριτοῦ ἐπὶ τοῦ ἱπποδρομίου τοῦ Κεκαυμένου.— Ἀρχὴ τῶν ἱστοριῶν, ἃς ἐμνήσθη ὁ μέγας οὗτος πατὴρ Γρηγόριος. — Ἱστορία τοῦ: «Πάλιν Ἰησοῦς ὁ ἐμός»· καὶ τελευταῖον: Βατραχομυομαχία τοῦ Ὁμήρου μετ' ἐξηγήσεως ὑπεράνω τῶν στίχων.

1041. [193].

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,16, κατὰ τὴν ΙϛΊ ἑκατονταετηρίδα ὑπὸ διαφόρων χειρῶν γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 257, ἐλλιπὲς ὅμως ἔν τε τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει: α') Βίους τῶν ἁγίων ἀπὸ τῆς κϛΊ τοῦ Ὀκτωβρίου ἕως τῆς θ' τῆς Μαρτίου. — β') Λόγους τινὰς πατέρων, — καὶ γ') Διηγήσεις ἀσκητικάς.

1042. [202].

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,21, πλάτ. 0,16, κατὰ τὴν ΙϛΊ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 129. Περιέχει: α') Σωφρονίου πατριάρχου Ἱεροσολύμων Βίον Μαρίας τῆς Αἰγυπτίας. — β') Ἀκολουθίαν τοῦ ἐξοδιαστικοῦ. — γ') Κανόνα νεκρώσιμον εἰς τοὺς κοιμηθέντας. — δ') Ἑτέρους Κανόνας ὀκτωήχους, — καὶ ε') Ἀκολουθίαν τοῦ Ἐπιταφίου θρήνου.

1043. [203].

Τεῦχος περγαμηνὸν μήκ. 0,33, πλάτ. 0,25, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 157, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Περιέχει Βίους τῶν ἁγίων τοῦ μηνὸς Ὀκτωβρίου.

1044. [204].

Τεῦχος περγαμηνὸν μήκ. 0,35, πλάτ. 0,25, ὑπὸ τεσσάρων διαφόρων

(1) Ἴσως τοῦ αὐτοῦ Ψελλοῦ.

χειρῶν συναπηρτισμένον, ὧν ἡ μὲν ἀρχαιοτέρα τῆς Ι', ἡ δὲ νεωτέρα τῆς ΙΓ' ἑκατονταετηρίδος, ἐκ φύλλων δὲ συγκείμενον 212, ἀλλ' ἄνευ ἀρχῆς καὶ τέλους. Περιέχει Βίους ἁγίων κατ' ἐκλογὴν ἀπὸ τοῦ μηνὸς Ὀκτωβρίου μέχρις Ἰανουαρίου.

1045. [205].

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,22, πλάτ. 0,32, ὑπὸ δύο διαφόρων χειρῶν γεγραμμένον κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα, ἐκ φύλλων δὲ συγκείμενον 166, ἐλλιπὲς ὅμως τῆς ἀρχῆς καὶ τοῦ τέλους. Περιέχει Βίους καὶ Μαρτύρια τῶν ἁγίων τοῦ μηνὸς Σεπτεμβρίου.

1046. [206].

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,31, πλάτ. 0,20, κατὰ τὴν ΙΕ' ἑκατονταντηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 193 συγκείμενον. Περιέχει τὸν Σαναξαριστὴν τῶν μηνῶν Ἰουνίου, Ἰουλίου καὶ Αὐγούστου.

1047. [207].

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,29, πλάτ. 0,22, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 172, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Περιέχει Βίους τῶν ἁγίων τοῦ μηνὸς Νοεμβρίου καὶ ἐπὶ πλέον Παντολέοντος διακόνου Λόγον εἰς τὸν Ταξιάρχην Μιχαὴλ καὶ Χρυσοστόμου Λόγους εἰς τὰ Σεραφεὶμ καὶ εἰς τὴν Σύναξιν τῶν ἀσωμάτων.

1048. [208].

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,32, πλάτ. 0,21, κατὰ τὴν ΙΖ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 527, ἐλλιπές, φύλλων ἔκ τε τῆς ἀρχῆς καὶ τοῦ μέσου ἐξερρυηκότων· ἀλλὰ καὶ ἡ ὦρα αὐτοῦ διάβρωτός ἐστιν ὑπὸ τῶν σητῶν καὶ τὰ κάτω τῶν ἐδαφίων ὑπὸ τῆς νοτίδος βεβλαμμένα. Περιέχει Βίους ἁγίων κατ' ἐκλογὴν ἐκ τῶν μηνῶν Δεκεμβρίου, Φεβρουαρίου καὶ Μαΐου, ἐπιπλέον δὲ καὶ τὰ ἑξῆς: α') Ἀνδρέου ἀρχιεπισκόπου Κρήτης τοῦ Ἱεροσολυμίτου Ἐγκώμιον εἰς τοὺς ἁγίους καὶ καλλινίκους δέκα μάρτυρας.—β') Ἀθανασίου Ἀλεξανδρείας Εἰς τὴν ἀπογραφὴν τῆς ἁγίας Μαρίας τῆς Θεοτόκου καὶ εἰς τὸν Ἰωσήφ.—γ') Βασιλείου τοῦ Μεγάλου Εἰς τὸ γενέθλιον τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.—δ') Ἰωάννου τοῦ Χρυσοστόμου Εἰς τὴν ἐνανθρώπησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.—ε') τοῦ αὐτοῦ Εἰς τὴν γενέθλιον ἡμέραν τοῦ Χριστοῦ.—ϛ') Τοῦ αὐτοῦ Ὁμιλία εἰς τὸ γενέθλιον τοῦ Χριστοῦ.—ζ') Γρηγορίου Νύσσης Εἰς τὸ γενέθλιον τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ εἰς τὰ νήπια.—η') Τοῦ αὐτοῦ Εἰς τὸν πρωτομάρτυρα Στέφανον,—καὶ θ') Μεθοδίου Πατάρων Εἰς τὴν Ὑπαπαντὴν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ κτλ.

1049. [210].

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,23, πλάτ. 0,16, κατὰ τὴν ΙϛΓ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 262 συγκείμενον. Περιέχει Μαρτύρια ἁγίων, Διηγήσεις θαυμάτων, Γεροντικά τινα ἐκ τοῦ Συναξαριστοῦ, Ἐφραὶμ τοῦ Σύρου Λόγους ἀσκητικούς, Σουΐδα Περὶ Ἰωάννου Δαμασκηνοῦ, καὶ Δαμασκηνοῦ Ἔκδοσιν ὀρθῆς πίστεως.

1050. [211].

Τεῦχος περγαμηνὸν μήκ. 0,38, πλάτ. 0,26, κατὰ τὴν Ι' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 242, ἐλλιπὲς ὅμως τῆς ἀρχῆς καὶ τοῦ τέλους, τὰ δὲ πρῶτα 50 φύλλα ἐκ χάρτου ἔχον ἀναπεπληρωμένα καὶ τὰ ἄνω ἐδάφη ὡς ἐπὶ τὸ πλεῖστον ἐφθαρμένα. Περιέχει Βίους ἁγίων καὶ Λόγους τῶν ἑξῆς πατέρων: Πρόκλου, Ἐφραὶμ Σύρου, Χρυσοστόμου, Ἱππολύτου, Νεκταρίου, Βασιλείου καὶ Θεοδώρου τοῦ Στουδίτου.

1051.

Τεῦχος περγαμηνὸν μήκ. 0,34, πλάτ. 0,23, κατὰ λήγουσαν τὴν Ι' ἢ ἀρχομένην τὴν ΙΑ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 251. Περιέχει: Βίους καὶ Μαρτύρια ἁγίων τοῦ μηνὸς Νοεμβρίου, ἐπιπλέον δὲ καὶ ταῦτα: α') Γεωργίου μητροπολίτου Νικομηδείας Λόγον εἰς τὴν ἀπόδοσιν τῆς ὑπερενδόξου δεσποίνης ἡμῶν Θεοτόκου ἐν τῷ ναῷ καὶ ἀφιέρωσιν τῷ Θεῷ, — καὶ β') Κλήμεντος ἐπισκόπου Ῥώμης Ἰακώβῳ ἐπισκόπῳ Ἱεροσολύμων Περὶ τῶν πράξεων καὶ περιόδων τοῦ ἁγίου καὶ κορυφαίου τῶν ἀποστόλων Πέτρου, αἷς καὶ ὁ αὐτοῦ συμπεριείληπται βίος κτλ.

1052.

Τεῦχος περγαμηνὸν μήκ. 0,36, πλάτ. 0,25, κατὰ τὴν ΙΙ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 337. Περιέχει κατ' ἐκλογὴν Βίους καὶ Μαρτύρια ἁγίων, ἐπιπλέον δὲ καὶ ταῦτα: α') Βασιλείου τοῦ μεγάλου Ἐγκώμιον εἰς Βαρλαάμ. — β') Τοῦ αὐτοῦ Εἰς τὸν μάρτυρα Γόρδιον. — γ') Τοῦ αὐτοῦ Λόγον πρὸς τοὺς πλουτοῦντας. — δ') Ἰωάννου τοῦ Χρυσοστόμου Περὶ τοῦ μὴ ἐπαισχύνεσθαι ὁμολογεῖν τὸν τίμιον σταυρὸν κτλ. — ε') Τοῦ αὐτοῦ Εἰς τὸν τετραήμερον Λάζαρον, — καὶ ζ') Τοῦ αὐτοῦ Λόγον εἰς τὸν Τελώνην καὶ Φαρισαῖον.

1053.

Τεῦχος περγαμηνὸν μήκ. 0,34, πλάτ. 0,24, κατὰ τὴν ΙΑ' λήγουσαν ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 255. Περιέχει Βίους ἁγίων τοῦ μηνὸς Ἰανουαρίου καὶ ἐπιπλέον τὰ ἑξῆς: α') Ἀνεπιγράφου, Ὑπόμνημα, τύπον ἱστορίας κεφαλαιώδους ἐπέχον, ἐπὶ τῇ ἀνακομιδῇ τοῦ τιμίου λειψάνου τοῦ θείου καὶ ἱεροῦ Χρυσοστόμου. — β') Τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Φιλοθέου Λόγον ἐγκωμιαστικὸν εἰς τοὺς τρεῖς ἱεράρχας, — καὶ γ') Ἰωάννου μητροπολίτου Εὐχαΐτων Λόγον εἰς τὴν αὐτὴν ἑορτήν.

1054.

Τεῦχος περγαμηνὸν μήκ. 0,31, πλάτ. 0,25, κατὰ τὴν ΙΒ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 265, ὧν τὰ δύο ἐν ἀρχῇ πρῶτα καθέτως διεσχισμένα, ἐλλιπὲς δὲ καὶ ἐν τῷ τέλει. Περιέχει Βίους καὶ Μαρτύρια ἁγίων καὶ Ὑπόμνημα εἰς τὸν ἅγιον ἀπόστολον Φίλιππον.

Η'.

ΑΡΧΑΙΑ ΚΑΙ ΝΕΩΤΕΡΑ ΦΙΛΟΛΟΓΙΑ

1055.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,29, πλάτ. 0,21, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 403. Περιέχει τὰς ΚΔ' Ῥαψῳδίας τῆς Ὁμήρου Ἰλιάδος μετὰ Παραφράσεως ἐρυθρογράφου ὑπεράνω τῶν στίχων, διαφόρου οὔσης τῆς τοῦ Θεοδώρου Γαζῆ. Ἄρχεται ἐκ τοῦ στίχου 69 τῆς Α ῥαψῳδίας, δύο φύλλων ἐκ τῆς ἀρχῆς ἐκρυέντων.

1056.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,16, κατ' ἀρχομένην τὴν ΙϛΓ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 174. Περιέχει: α') Σοφοκλέους τόν: Αἴαντα Μαστιγοφόρον καὶ τὴν: Ἠλέκτραν, καὶ β') Αἰσχύλου τόν: Προμηθέα καὶ τούς: Ἑπτὰ ἐπὶ Θήβαις, μετὰ σχολίων σποραδικῶν καὶ γλωσσημάτων ἐξηγητικῶν ἐρυθρογράφων μέσον τῶν στίχων.

1057.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,22, πλάτ. 0,14, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 161, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ. Περιέχει: τὴν Εὐριπίδου Ἑκάβην ἀπὸ τοῦ 53 στίχου καὶ ἑφεξῆς, καὶ τόν: Ὀρέστην μετὰ σχολίων καὶ γλωσσημάτων, ὡς τὸ προηγούμενον.

1058.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,23, πλάτ. 0,15, κατὰ τὴν ΙΕ' λήγουσαν ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 104. Περιέχει τὴν: Εὐριπίδου Ἑκάβην καὶ τόν: Ὀρέστην μετὰ σχολίων σποραδικῶν καὶ γλωσσημάτων, ὡς τὰ ἀνωτέρω.

1059.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,22, πλάτ. 0,17, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 181, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ ἐκρυέντος τοῦ πρώτου φύλλου, ἐν ᾧ ἦν ἡ ἀρχὴ τοῦ Σοφοκλέους βίου. Περιέχει Σοφοκλέους: τὸν Αἴαντα Μαστιγοφόρον καὶ τὴν Ἠλέκτραν μετὰ σχολίων καὶ γλωσσημάτων, ὡς τὰ ἀνωτέρω. Τοῦτο προσηνέχθη τῇ Ἐθνικῇ Βιβλιοθήκῃ ὑπὸ τοῦ σεβ. μητροπολίτου Πενταπόλεως πρώην ἐψηφισμένου πατριάρχου Ἀλεξανδρείας, τοῦ ἐκ τῆς ἐν τῷ Ἄθῳ μονῆς τοῦ Ἐσφιγμένου.

1060.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,15, πλάτ. 0,11, περὶ λήγουσαν τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 93. Περιέχει: τὴν Λυκόφρονος Ἀλεξάνδραν μετὰ γλωσσημάτων ἐρυθρογράφων μέσον τῶν στίχων.

0161.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 131. Περιέχει καὶ τοῦτο τήν: Λυκόφρονος Ἀλεξάνδραν μετὰ καὶ τῶν εἰς τοὺς ποιητὰς Προλεγομένων Ἰσαακίου τοῦ Τσέτζου καὶ τῶν εἰς τὸ ποίημα τοῦτο σχολίων αὐτοῦ.

1062.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,15, κατὰ τὴν ΙϛΊ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 603. Περιέχει σύμμικτά τινα, οἷον Γραμματικὰ, Ἑρμηνευτικὰ εἰς Ὅμηρον,—Ἀριστοφάνους: τὸν Πλοῦτον μετὰ σχολίων καὶ γλωσσημάτων ἐρυθρογράφων μέσον τῶνστίχων, καί: τὰς Νεφέλας,—Εὐριπίδου: τὴν Ἑκάβην μετὰ σχολίων καὶ γλωσσημάτων,—Λυκόφρονος: τὴν Ἀλεξάνδραν μετὰ σχολίων σποραδικῶν καὶ γλωσσημάτων,—Πινδάρου: Ὀλυμπίων Εἴδη ιε' μετὰ σχολίων καὶ γλωσσημάτων,—Ὁμήρου τὰς πέντε πρώτας Ῥαψῳδίας τῆς Ἰλιάδος μετὰ σχολίων καὶ γλωσσημάτων, εἶτα τὸ Ι μετὰ γλωσσημάτων μόνον, τὸ Κ ἐλλιπὲς, καὶ τὸ Λ μετὰ σχολίων καὶ γλωσσημάτων, —τὴν Βατραχομυομαχίαν, — τὸ Α τῆς Ὀδυσσείας μετὰ σχολίων σποραδικῶν, —Γρηγορίου τοῦ Θεολόγου: Ἔπη μετὰ γλωσσημάτων καὶ σχολίων, ὧν ἐν τέλει ἀναγινώσκονται τὰ ἑξῆς: «Γρηγορίου τοῦ Θεολόγου, ὥφασι, τὰ λοίσθια πνέοντος Ἐπίγραμμα:

Ἄγγελοι αἰγλήεντες, ἀπειρέσιον κατὰ κύκλον
Τρισσοφαοῦς θεότητος ὁμὸν σέλας ἀμφιέποντες
Γρηγόριον δέξασθε ἀνάξιον, ἀλλ' ἱερέα».

Τοῦ αὐτοῦ εἰς τὸν μέγαν Βασίλειον Ἐπικήδεια εἴτε Ἐπιτάφια, μετ' ἐξηγήσεως περὶ τὴν ᾠδὴν,—Ἀννιτίου Μαλλίου Σεβηρίου Βοηθοῦ ἀπὸ ὑπάτων τέλος τῶν πατρικίων: Βιβλίον περὶ παραμυθίας τῆς φιλοσοφίας, βιβλίον Α', μετά τινων σχολίων περὶ τὴν ᾠδὴν, — Κάτωνος Ῥωμαίου Γνώμας παραινετικὰς διστίχους, ἃς μετήνεγκεν ἐκ τῆς Λατίνων φωνῆς εἰς τὴν ἑλληνίδα διάλεκτον Μάξιμος μοναχὸς ὁ Πλανούδιος, μεθ' ἑρμηνείας περὶ τὴν ᾠδὴν,—τὸν Κανόνα τῶν Χριστουγέννων μετ' ἐξηγήσεως σποράδην,—Μιχαὴλ πρεσβυτέρου καὶ συγκέλλου τοῦ ἀποστολικοῦ θρόνου τῶν Ἱεροσολύμων: Περὶ τῆς τοῦ λόγου συντάξεως διδασκαλίαν σχεδιασθεῖσαν ἐν Ἐδέσσῃ πόλει τῆς Μεσοποταμίας, αἰτήσει Λαζάρου διακόνου φιλοσόφου καὶ λογοθέτου,—Θεοδώρου τοῦ Βαλσαμών: Στίχους ἡρωϊκοὺς εἰς τὴν παρ' αὐτοῦ γενομένην ἐξήγησιν τοῦ Νομοκάνονος,—Περὶ τῆς τῶν προθέσεων συντάξεως καὶ τῶν παθῶν τῶν λέξεων, καί τινα ἄλλα γραμματικὰ, — Λιβανίου: Πρεσβευτικὸν πρὸς τοὺς Τρῶας ὑπὲρ τῆς Ἑλένης, — τοῦ αὐτοῦ: Πρεσβευτικὸν Β',— καὶ Ἀφθονίου σοφιστοῦ: Προγυμνάσματα.

1063.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,20, πλάτ. 0,15, κατὰ τὸ 1628 ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ συγκείμενον 123. Περιέχει: Θεοκρίτου Εἰδύλλια·—Ὁμήρου τὸ Α καὶ Β τῆς Ἰλιάδος καὶ τὴν Βατραχομυομαχίαν·—τέλος δὲ τὸν Ἀριστοφάνους Πλοῦτον, τὰ πάντα μετὰ γλωσσημάτων ἐρυθρογράφων.

1064.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,22, πλάτ. 0,15, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 73. Περιέχει: Ἀιλίου Ἀριστείδου Ῥήτορος τὸν Παναθαναϊκόν.

1065.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,22, πλάτ. 0,14, κατὰ τὴν ΙΔ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 200 συγκείμενον. Ἐπιγέγραπται: «Ἐπιμερισμοὶ κατὰ στοιχεῖον»· μεθ' οὓς ἕπεται: Λεξικὸν τῆς Ὀδυσσείας, ἀπὸ τῆς Α Ῥαψῳδίας μέχρι τέλους. Ἔστι δὲ λίαν λελωβημένον ὑπὸ τῶν σητῶν.

1066.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,27, πλάτ. 0,20, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 128. Ἐπιγέγραπται: «Διονυσίου τοῦ Θρακὸς Γραμματικὴ», ἧς προηγεῖται ἐν ἐπιτόμῳ ὁ Βίος αὐτοῦ.

1067.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,29, πλάτ. 0,20, κατὰ τὴν ΙΕ' φθίνουσαν ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 314. Περιέχει: Ἀριστοτέλους τὰς Κατηγορίας μετὰ τῆς Εἰσαγωγῆς τοῦ Πορφυρίου.

1068.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,30, πλάτ. 0,21, περὶ φθίνουσαν τὴν ΙϛΓ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 146. Περιέχει: τὸ εἰς τὰς Ἀριστοτέλους κατηγορίας Ὑπόμνημα τοῦ Σιμπλικίου.

1069.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ 0,30, πλάτ. 0,23, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 325, ἐλλιπέστατον ὅμως ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει. Περιέχει: Ἰωάννου τοῦ Ζωναρᾶ τὸ Χρονικὸν, ἀρχόμενον ἐκ τοῦ βιβλίου Γ', κεφ. η' καὶ καταλῆγον εἰς τὸ ΙΒ', κεφ. ιε'.

1070.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,24, πλάτ. 0,16, περὶ φθίνουσαν ἴσως τὴν ΙΒ' ἢ τὴν ΙΓ' ἀρχομένην ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 231. Περιέχει τὸ Α' βιβλίον τῆς Γνωμολογίας Ἀντωνίου μοναχοῦ τοῦ ἐπικληθέντος Μέλισσα. Ἔπειτα ἑτέραν Γνωμολογίαν ἐπιγεγραμμένην μὲν εἰς Ἰωάννην τὸν Δαμασκηνὸν, ἄλλου τινὸς ὅμως οὖσαν. Ταύτῃ ἕπονται: Γνῶμαι καὶ διάλεκτοι. — Μενάνδρου Παραινέσεις κατὰ στοιχεῖον. — Ἀποφθέγματα τῶν ἑπτὰ σοφῶν καὶ ἄλλα προσέτι διάφορα.

1071.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,21, πλάτ. 0,15, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλον δὲ συγκείμενον 318, τῆς ἀρχῆς καὶ τοῦ τέλους ἐλλιπές. Ἔστι δὲ Γλωσσάριον, ἀρχόμενον ἐκ τῆς λέξεως: Ἀποσαλεύσας = ἀποφυγὼν ἐκ τοῦ λιμένος τοῦ ἁλιμένου τόπου,

ἔνθα σάλος γίνεται, καὶ καταλήγει εἰς τὴν λέξιν: Χραισμῷ, ἀπὸ τοῦ χρήσιμος χρησιμῶν κτλ.

1072.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,17, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 527. Περιέχει α') Λουκιανοῦ τό: Ἐνύπνιον καὶ Διαλόγους ἱκανοὺς ἡρμηνευμένους διὰ τῆς λεγομένης παρὰ τοῖς παλαιτέροις ψυχαγωγίας, ἤτοι τῆς ἄνωθεν τοῦ κειμένου παρενθέσεως τῶν συνωνύμων λέξεων. — β') Θεοφίλου τοῦ Κορυδαλέως: Ἔκθεσιν περὶ ἐπιστολικῶν τύπων, — καὶ γ') Ἐπιστολὰς διαφόρων, ὧν αἱ πλείους εἰσὶ τοῦ Συνεσίου.

1073.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,16, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλων δὲ συγκείμενον 254. Ἐπιγέγραπται: «Φράσεων ἑλληνικῶν ἀπὸ ἑβδομήκοντα καὶ τριῶν συγγραφέων συνειλεγμένων καὶ εἰς κοινοὺς τύπους κατεστρωμένων, βιβλίον ὠφελιμώτατον καὶ ἀναγκαιότατον, οὐ τοῖς προβεβηκόσι μαθηταῖς, ἀλλὰ δὴ καὶ αὐτοῖς τοῖς εἰς ἄκρον παιδείαν ἐληλακόσι καθηγηταῖς, ἑλληνιστὶ συγγράφειν μέλλουσιν». Ἔστι δὲ ἡ συναγωγὴ αὕτη ἐλλιπὴς ἐν ἀρχῇ μὲν φύλλων τεσσάρων, ἐκ τοῦ τέλους δὲ ἄδηλον πόσων.

1074.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,21, πλάτ. 0,14, κατὰ τὴν ΙΖ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 189. Περιέχει τὸ ἔπος τὸ ἐπιγραφόμενον: «Βασίλειος Διγενὴς Ἀκρίτας». Δεδώρηται τῇ βιβλιοθήκῃ τοῦ Πανεπιστημίου ὑπὸ τοῦ Ἀ. Μηλιαράκη.

1075.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,15, πλάτ. 0,11, κατὰ τὴν ΙϛΓ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 152, ὧν τὰ 12 τελευταῖα εἰσὶν ἄγραφα. Περιέχονται ἐν αὐτῷ: α') Ἰουστίνου τοῦ θείου Φιλοσόφου καὶ Μάρτυρος: Ἀνατροπὴ δογμάτων τινῶν ἀριστοτελικῶν. — β') Βιβλίον Ζ' τὸ Περὶ ψυχῆς, (τοῦτό ἐστι Βυζαντινοῦ τινος ἐπιτομὴ τῶν Ἀριστοτέλους Περὶ ψυχῆς βιβλίων). — γ') Βιβλίον Η' Περὶ αἰσθήσεως καὶ αἰσθητῶν, — καὶ δ') Νικηφόρου τοῦ Χούμνου: Ἀντιθετικὸς πρὸς Πλωτῖνον.

1076.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,20, πλάτ. 0,15, κατ' ἀρχομένην ἴσως τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 282. Περιέχει Ἡσιόδου: τὰ Ἔργα καὶ ἡμέρας. — Εὐριπίδου: τὴν Ἑκάβην καὶ τὸν Ὀρέστην. — Θεοκρίτου: Εἰδύλιά τινα. — Ἐπιγράμματα διάφορα ἐκ τῆς Ἀνθολογίας. — Πινδάρου: ἐκ τῶν Ὀλυμπίων, — καὶ Λουκιανοῦ: Νεκρικούς τινας Διαλόγους. Φέρουσι δὲ τὰ πάντα ἄνωθεν καὶ γλωσσήματα ἐξηγητικά.

1077.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,22, πλάτ. 0,16, κατὰ τὸ ᾳυξε' ἔτος γεγραμμένον, ὡς σημειοῦται περὶ τὸ τέλος, ἐκ φύλλων δὲ συγκείμενον 300. Περιέχονται ἐν αὐτῷ: α') Γραμματικὴ τέχνη, ἤτοι τὰ Σχέδη

Μανουὴλ τοῦ Μοσχοπούλου. — β') Ἰσοκράτους : ἡ Πρὸς Δημόνικον παραίνεσις καὶ ὁ Πρὸς Νικοκλέα περὶ βασιλείας λόγος — γ') Τὰ Ἑωθινὰ Εὐαγγέλια ἡρμηνευμένα. — δ') Γρηγορίου τοῦ Θεολόγου Λόγος εἰς τὴν Γέννησιν τοῦ Σωτῆρος ἡρμηνευμένος. — ε') Τοῦ αὐτοῦ Λόγος εἰς τὰ ἅγια Θεοφάνια, ὁμοίως ἡρμηνευμένος. — ϛ') Μεθοδίου Πατάρων Λόγος περὶ τῶν ἐσχάτων ἡμερῶν καὶ τοῦ ἀντιχρίστου. — ζ') Ἱστορίαι ἐμφερόμεναι ἐν τῷ λόγῳ Γρηγορίου τοῦ Θεολόγου εἰς τὸ: «Πάλιν Ἰησοῦς ὁ ἐμὸς κτλ.» — η') Θεοφάνους ἐπισκόπου Ταυρομενίου τοῦ Κεραμέως: Ἑρμηνεία εἰς τὰ ΙΑ' ἑωθινὰ Εὐαγγέλια. — θ') Τοῦ αὐτοῦ: Περὶ τῶν ἁγίων παθῶν. — ι') Ἰωάννου τοῦ Χρυσοστόμου: Ὁμιλία περὶ ψευδοπροφητῶν καὶ καὶ ψευδοδιδασκάλων καὶ ἀθέων αἱρετικῶν. Ἐρρέθη δὲ μέλλοντος αὐτοῦ ἐκδημεῖν ἐκ τοῦ σώματος.

1078.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,21, πλάτ. 015, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 208, ἀλλ' ἐλλιπὲς τῆς ἀρχῆς. Καὶ τοῦτο δὲ περιέχει τὰ Σχέδη τοῦ αὐτοῦ Μοσχοπούλου, καὶ ἐπιπλέον: Κανόνας τῶν διαφόρων μερῶν τοῦ λόγου. Εἶθ' οὕτως εὑρηνται καὶ τὰ ἑξῆς: Ἱστορία περὶ Ἡρακλέους. — Ἱστορία περὶ Θαλλοῦ, Πυθαγόρου, Ἀναξαγόρα καὶ Ἐμπεδοκλέους. — Περὶ Λαΐου. — Περὶ Ἀπολλωνίου τοῦ Τυανέως. — Περὶ τῆς χρυσῆς ἀρνὸς τοῦ Ἀτρέως. — Περὶ Πρωτέως. — Περὶ Ξέρξου. Καὶ ταῦτα μὲν πάντα εἰσὶ μετειλημμένα ἀπὸ τῶν Τζέτζου Χιλιάδων· ἐφεξῆς δὲ φέρονται: Περὶ τοῦ Ἐπικτήτου. — Περὶ τοῦ Ἀναξάρχου. — Περὶ τῶν Πυθαγορικῶν κυάμων. — Περὶ Θεανοῦς τῆς Πυθαγορείας. — Περὶ τὸν Ἐπαμεινώνδα καὶ Σκηπίωνα (οὕτω). — Περὶ τοὺς ἀντίποδας καὶ χαμαιεύνας (οὕτω). — Περὶ Σωκράτους. — Περὶ Πλάτωνος. — Περὶ Ξενοκράτους καὶ Ἀριστοτέλους. — Περὶ Διογένους. — Περὶ Ἀντισθένους, μᾶλλον δὲ Ζήνωνος. — Περὶ Ἀριστοτέλους. — Περὶ Ἡρακλείου καὶ Δημοκρίτου. — Περὶ Ἡρακλέους. — Περὶ τοῦ Αἰτναίου πυρός. — Περὶ τοῦ θηρὸς Σκύλα (οὕτω). — Περὶ τῆς Σιβύλλας. — Περὶ τῶν Κυκλώπων. — Περὶ τοῦ πῶς εὑρέθη ἡ βαφὴ τῆς πορφύρας, — καὶ Τὸ θύειν θεοῖς τίνες πρῶτοι ἐξεῦρον.

1079.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,21, πλάτ. 0,14, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 157, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ καὶ τῷ τέλει. Καὶ τοῦτο περιέχει: τὴν Γραμματικὴν τοῦ αὐτοῦ Μοσχοπούλου, ἡ δὲ ἀρχὴ τῶν Σχεδῶν ἐπιγέγραπται οὕτω:

Ἄδει Μανουὴλ εὐσεβεστάτῃ Μούσῃ
Πρώτιστον ᾄσμα τῆς λόγων τεχνουργίας.

Ἀρχὴ σὺν θεῷ τοῦ α' Σχέδους τοῦ διορθωθέντος παρὰ τοῦ σοφωτάτου κυροῦ Μανουὴλ τοῦ Μοσχοπούλου, κατὰ δέ τινας, τοῦ Κρήτης· διώνυμον γὰρ τὸν ἄνδρα λέγουσιν.

1080.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,21, πλάτ. 0,16, κατὰ τὸ ,ζιη' (+ 1590) γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ φύλλῳ 210, ἐκ φύλλων δὲ συγκείμενον 322. Περιέχονται ἐν αὐτῷ τὰ ἑξῆς: Λέξεις τῶν Ψαλμῶν.

—Λέξεις τῶν Εὐαγγελίων.—Λέξεις τῶν Πράξεων.—Λέξεις Ἀποστολικαί.—Ἑρμηνεία ὀνομάτων καὶ λέξεων ἐν ταῖς θείαις Γραφαῖς ἐμπεριεχομένων.—Λέξεις τῶν Προφητῶν κατὰ στοιχεῖον. —Ἑρμηνεία λέξεων κατὰ στοιχεῖον ἐμφερομένων τῇ βίβλῳ τοῦ ἁγίου Διονυσίου ἐπισκόπου Ἀθηνῶν τοῦ Ἀρειοπαγίτου.—Ἑρμηνεῖαι τῶν ὀνομάτων τῶν μερῶν τοῦ σώματος τοῦ ἀνθρώπου. —Ἐκλογὴ ἀπὸ τῆς Ἑξαημέρου τοῦ μεγάλου Βασιλείου πῶς ὀνομάζονται τά τε χερσαῖα ζῶα καὶ ἔνυδρα.—Περὶ γραμματικῆς μεθόδου.—Γλωσσάριον ἀνεπίγραφον περιέχον μόνον τὸ στοιχεῖον Α.—Εἴδησις μερικὴ περὶ ὀρθογραφίας, ἐν ᾗ τὰ ἀπὸ τοῦ: ἢ ἀρχόμενα ἐκτίθενται στιχηρῶς, οἷον:

Ἡγοῦμαι καὶ ἡγούμενος, ὁ ἡγεμὼν καὶ ἄρχων,
Ἡγιασμένος Σάββας τε ἥκει καὶ ἥξει πάλιν, κτλ.

εἶθ' οὕτως ἕπεται καὶ ἕτερον: Γλωσσάριον ἀνεπίγραφον, (καί μοι ὅρα ἔμπροσθεν ἀριθ. 1082), στιχηρῶς δὲ ἐκτεθειμένον, οἷον:

Ἄναξ ὑπάρχει βασιλεὺς
Ἄνασσα ἡ Δεσποίνα,
Ἄντρον ἔνι τὸ σπήλαιον,
Ἀραρῶτος (οὕτω) πρεπόντως κτλ.

Μετὰ δὲ τοῦτο: Κυροῦ Γεωργίου Ζηγαβινοῦ (οὕτω) Περὶ τῶν ἑπτὰ φωνηέντων ποῦ δασύνονται καὶ ποῦ ψιλοῦνται, καὶ περὶ τῶν ἀντιστοίχων. Τινὲς λέγουσιν ὅτι τοῦ Πτωχοπροδρόμου κυροῦ Θεοδώρου ὑπάρχουσιν, οἵ καὶ μᾶλλον, ὡς οἶμαι, ἀληθεύουσιν. Ἄρχεται δὲ οὕτω:

Βούλομαι, φίλε, πρὸς μικρὸν ὧδέ σοι σαφηνίσαι
Τῶν φωνηέντων τῶν ἑπτὰ τὴν θέσιν καὶ τὴν τάξιν,
Πῇ τε καὶ ποῦ δασύνονται πῇ τε καὶ ποῦ ψιλοῦνται,
Ἵνα σολοικοβάρβαρα μηδόλως γράφῃς ἔπη,
Καὶ παίγνιον ἀναφανῇς τοῖς εὖ εἰδόσι ταῦτα, κτλ.

Ἔπειτα: Κανὼν περὶ τῶν ἀντιστοίχων Θεοδώρου τοῦ Πτωχοπροδρόμου, κατὰ ἀλφάβητον, Ὠδὴ α' ἦχος β', «Ἐν βυθῷ κατέστρωσέ ποτε». Ἀπὸ δὲ τοῦ φύλλου 211 ἕως τέλους περιέχεται Ἑρμηνεία σύντομος τῶν Κανόνων τῶν Δεσποτικῶν ἑορτῶν, ἥτις ἄλλου τινὸς φαίνεται οὖσα καὶ οὐχὶ τοῦ Πτωχοπροδρόμου.

1081.

Τεῦχος ἐκ χάρτου βαμβακίνου κατὰ τὸ ἥμισυ, καὶ κοινοῦ κατὰ τὸ ἕτερον ἥμισυ, μήκ. 0,21, πλάτ. 0,15, ὑπὸ δύο χειρῶν γεγραμμένον κατὰ τὴν ΙΕ' καὶ Ιϛ' ἑκατονταετηρίδα, ἐκ φύλλων δὲ συγκείμενον 199. Περιέχει καὶ τοῦτο: τὴν Γραμματικὴν Μανουὴλ τοῦ Μοσχοπούλου, ἧς ἐν τέλει προστέθειται: Πινδάρου τὸ α' Εἶδος τῶν Ὀλυμπίων μετὰ τῶν Σχολίων αὐτοῦ.

1082.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,22, πλάτ. 0,14, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 167. Ἐπιγέγραπται: «Λεξικὸν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κυρίλλου Ἀλεξανδρείας»· μεθ' ὃ φέρονται: Λέξεις εἰς τοὺς ψαλμοὺς τοῦ Ψαλτηρίου

καὶ εἰς τὰς Θ' Ὠδάς. — Λέξεις τῶν Πράξεων. — Λέξεις τῆς πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου. — Λέξεις διάφοροι. — Ὀνόματα Κανόνος τῆς Ὀκτωήχου. — Ἕτερον Λεξικὸν ἀνεπίγραφον. — Λεξικὸν Ἀγγαίου τοῦ Φιλοσόφου (;), διὰ στίχων. Ἔστι δὲ ὅμοιον τῷ κάν τῷ ἀριθ. 1080 περιεχομένῳ δευτέρῳ Γλωσσαρίῳ.

1083.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,21, πλάτ. 0,15, περὶ τελευτῶσαν τὴν ΙϛΊ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 203, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ. Περιέχει καὶ τοῦτο: τὴν Γραμματικὴν Μανουὴλ τοῦ Μοσχοπούλου. Εἶθ' οὕτω φέρεται: Ἐπιτομὴ τῶν Ταῤῥαίου καὶ Διδύμου Παροιμιῶν. — Ἐκ τῶν Κλαυδίου Κασίλωνος (οὕτω) παρὰ τοῖς ἀττικοῖς ῥήτορσι συζητουμένων. — Διδύμου: Περὶ τῶν ἀπορουμένων παρὰ Πλάτωνι λέξεων. — Ζηνοδώρου: Τῶν περὶ συνηθείας Ἐπιτομή. — Σουητίνου Τρογκύλου (οὕτω) Περὶ βλασφημιῶν καὶ πόθεν ἑκάστη. — Ἀριστοφάνους [τοῦ Γραμματικοῦ]: Περὶ τῶν ὑποπτευομένων μὴ χρῆσθαι τοῖς παλαιοῖς. — Περὶ σχημάτων. — Πόθεν καὶ ἐκ τίνων διάλεκτοι γεγόνασι. — Περὶ βαρβαρισμοῦ, καὶ μικρά τινα ἄλλα εἰς τὴν Γραμματικὴν ἀναφερόμενα.

1084.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,15, κατὰ τὴν ΙϛΊ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 158. Περιέχει καὶ τοῦτο: τὴν Γραμματικὴν Μανουὴλ τοῦ Μοσχοπούλου.

1085.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, κατὰ τὴν ΙϛΊ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 82. Ἐπιγέγραπται: «Ἐρωτήματα σὺν θεῷ τοῦ σοφωτάτου καὶ λογιωτάτου κὺρ Μανουὴλ τοῦ Μοσχοπούλου τοῦ ἀπὸ Κρήτης, παρ' αὐτοῦ διορθωθέντα καὶ συντελεσθέντα κάλλιστα, ὡς ὁρᾶται. Ἀρχὴ τῶν προσῳδιῶν» κτλ.

1086.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,16, πλάτ. 0,11, κατὰ τὴν ΙϛΊ ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 352. Περιέχει καὶ τοῦτο τὰ αὐτά: Ἐρωτήματα κυροῦ Μανουὴλ τοῦ Μοσχοπούλου, μεθ' ἃ φέρεται: Τοῦ σοφωτάτου καὶ λογιωτάτου κυροῦ (χάσμα): Περὶ τῶν ὀκτὼ μερῶν τοῦ λόγου. — Πάθη τῶν λέξεων. — Τοῦ Φιλοπόνου: Περὶ λέξεων. — Περὶ μέτρων. — Κανονίσματα καὶ τεχνολογία εἰς τὸν Ὅμηρον (ἀναφέρονται εἰς τὰ δύο πρῶτα στοιχεῖα τῆς Ἰλιάδος).

1087.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,23, πλάτ. 0,17, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 224. Ἐπιγέγραπται: «Θεοδώρου γραμματικῆς Εἰςαγωγῆς τῶν εἰς τέσσαρα τὸ τέταρτον»· μεθ' ὃ φέρεται: Περὶ ὅρου καὶ διαιρέσεως καὶ ἐτυμολογίας καὶ ἑτέρων ἀναγκαίων πρὸς τὰ ὀκτὼ τοῦ λόγου μέρη, ἔκ τε τῶν παλαιῶν καὶ νέων γραμματικῶν καὶ συνταχθέντων παρὰ Μητροφάνους μοναχοῦ πρὸς σαφεστέραν εἴδησιν τῶν ἐντυγχανόν-

των σπουδαίων. Κατόπιν τούτου εὕρηται: «Τοῦ σοφωτάτου κυροῦ τοῦ Προδρόμου Ἐξήγησις εἰς τοὺς ἐν ταῖς δεσποτικαῖς ἑορταῖς ἐκτεθέντας Κανόνας παρὰ τῶν ἁγίων καὶ σοφῶν ποιητῶν Κοσμᾶ καὶ Ἰωάννου· πρὸ δὲ αὐτῆς: Προοίμιον εἰς τὸν Ὀρφανοτρόφον ἀξιώσαντα τούτους ἐξηγήσασθαι.

1088.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,28, πλάτ. 0,20, κατὰ τὸ 1760 ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ φύλλῳ 188, ἐκ φύλλων δὲ συγκείμενον 199 Ἐπιγέγραπται: «Ἀνανίου [τοῦ Ἀντιπαρίου] ἐκ τῶν συνουσιῶν Δωροθέου τοῦ φιλοσόφου Σπλάγχνον Γραμματικῆς ἢ περὶ μορίων». Τούτου ἐν τέλει φέρεται τὸ σημείωμα τόδε: «Ἐν Κωνσταντινουπόλει, ὁ περὶ μορίων πόνος βραχὺς οὗτος συνεπληρώθη, τῆς ἐν αὐτῇ διδασκάλῳ δυστυχοῦς, εἴ τις καὶ ἄλλη, ὄντι τῷ Ἀνανίᾳ σχολῆς· ἑβδόμῳ τε καὶ πεντηκοστῷ πρὸς τοῖς ἑπτακοσίοις τε καὶ χιλίοις, ἔτει τῷ σωτηρίῳ, ἐπὶ Σεραφεὶμ μετὰ τὸ ἐπιβῆναι τὴν ἤδη ἑκατοντάδα πατριάρχου δευτέρου Πυανεψιῶτος ἑβδόμῃ ἐπὶ δέκα. Γέγραπται διὰ χειρὸς εὐτελοῦς μαθητοῦ Ἰωάννου παπᾶ Ἀλεξάνδρου Χουνῆ τοῦ ἐκ Σωτείρας τοῦ Ζαγορᾶ». Εἶθ' οὕτως ἕπεται: Περὶ τῶν ἐν τῷ «Ἔμελλεν ἄρα» τρόπων τε καὶ σχημάτων τινῶν βραχύ τι πόνημα τοῦ αὐτοῦ Ἀνανίου εἰς ἑπτακαίδεκα συμποσουμένων.

1089.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,24, πλάτ 0,17, κατὰ τὴν ΙΓ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκεεμενον 290, ἔχον πολλαχοῦ ἐν τῷ μεταξὺ καὶ φύλλα τινὰ νεωτέρας γραφῆς τῆς ΙΕ' καὶ ΙϛΓ' ἑκατονταετηρίδος, ἀσυνάρτητα κατὰ τὸ πλεῖστον πρὸς τὰ ἡγούμενα καὶ τὰ ἑπόμενα, ἐλλιπὲς δὲ τῆς ἀρχῆς καὶ τοῦ τέλους. Ἐπιγέγραπται: «Ἐρωτήματα ἐκτεθέντα παρὰ τοῦ σοφωτάτου κυροῦ τοῦ Προδρόμου πρὸς τὴν σεβασμιωτάτην αὐτοκρατόρισσαν». Μετὰ δὲ τοῦτο καταλέγονται καὶ τὰ ἑξῆς: α') Στεφάνου τοῦ Γραμματικοῦ Περὶ Γραμματικῆς. — β') Κατάλογος κατὰ στοιχεῖον τῶν μετὰ διαφόρων πτώσεων συνταττομένων ῥημάτων. — γ') Περὶ συντάξεως λόγου καὶ περὶ τοῦ μὴ σολοικίζειν, καὶ περὶ βαρβαρισμοῦ. Ἐν τῇ τοῦ τεύχους ᾧᾳ σημειοῦται τόδε: Γεωργίου μητροπολίτου Κορίνθου τοῦ πρότερον Πάρδου ὀνομαζομένου, Περὶ συντάξεως τοῦ λόγου κτλ. — δ') Λεξικὸν περὶ Πνευμάτων, ἐκλεγὲν ἐκ τῶν περὶ πνευμάτων Τρύφωνος, Χοιροβοσκοῦ, Θεοδωρίτου καὶ ἑτέρων πολλῶν, καὶ ἀντιγράφοις διαφόροις ἀντιβληθὲν καὶ διορθωθέν. — ε') Ἡρωδιανοῦ Περὶ διχρόνων, — ϛ') Λέξεις ἀναγκαῖαι ἐγκείμεναι εἰς τὸ κατὰ Ματθαῖον ἅγιον Εὐαγγέλιον. — ζ') Λέξεις ἀκριβεῖς τῶν ΡΝ' Ψαλμῶν. — η') Λεξικὸν κατὰ ἀλφάβητον. — θ') Ἕτεραι λέξεις συντεθειμέναι κατὰ ἀλφάβητον. — ι') Περὶ τῶν συγκειμένων ἐπιμερισμῶν πάνυ ὠφελίμων καὶ ἀναγκαίων τοῖς ἐφιεμένοις μαθεῖν. — ια') Ἀφθονίου ῥήτορος: Περὶ μύθου. — ιβ') Γνῶμαι κατ' ἐκλογὴν καὶ ἀποφθέγματα ἐκ τοῦ Δημοκρίτου καὶ Ἐγχειριδίου τοῦ Ἐπικτήτου, καὶ τῆς πρὸς Δημόνικον Ἐπιστολῆς τοῦ Ἰσοκράτους

καὶ ἑτέρων φιλοσόφων.—ιγ') Γραμματικοῦ καὶ οἰκουμενικοῦ διδασκάλου καὶ ῥήτορος τοῦ Χοιροβοσκοῦ: Περὶ τρόπων ποιητικῶν.—ιδ') Πάθη τῆς λέξεως· Πόθεν καὶ ἐκ τίνων αἱ διάλεκτοι γεγόνασιν.—ιε') Ἰδιώματα τῶν τεσσάρων διαλέκτων.—ις') Περὶ τῶν διπλῶν συντάξεων.—ιζ') Περὶ τῆς καθόλου τῶν ῥημάτων συντάξεως.—ιη') Περὶ διχρόνων τῶν μακρῶν καὶ τῶν βραχέων.—ιθ') Περὶ συντάξεως. Ἐν τῇ πέζῃ σημειοῦται τοῦτο: Ὡς ἔμοι γε δοκεῖ Θεοδώρου εἰσὶ ταῦτα.—κ') Ὀνομάτων ἀττικῶν Συλλογὴ ἐκλεγεῖσα ἀπὸ τῆς τεχνολογίας τῶν εἰκόνων τοῦ Φιλοστράτου, ἣν ἐξέθετο ὁ σοφώτατος κῦρις Μανουὴλ ὁ Μοσχόπουλος, καὶ ἀπὸ τὸ βιβλίον τῶν ποιητῶν. Συνετέθη δὲ ἐνταῦθα κατὰ στοιχεῖον, καὶ κα') Κανόνες διάφοροι καὶ κανονίσματα ἐκλεγέντες ἀπὸ τοῦ Χοιροβοσκοῦ.

1090.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,22, πλάτ. 0,16, κατὰ τὴν ΙΣ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 185, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Ἐν τούτῳ περιέχονται: α') Ἐρωτήματα περὶ προςῳδίας καὶ Γραμματικῆς.—β') Τοῦ Γραμματικοῦ καὶ οἰκουμενικοῦ διδασκάλου καὶ ῥήτορος τοῦ Χοιροβοσκοῦ: Περὶ τρόπων ποιητικῶν.—γ') Λέξεις ἀναγκαῖαι ἐγκείμεναι εἰς τὸ κατὰ Ματθαῖον ἅγιον Εὐαγγέλιον.—δ') Λέξεις ἀκριβεῖς τῶν ΡΝ' Ψαλμῶν.—ε') Λέξεις ἀποστολικαί.—ς') Ἕτεραι Λέξεις συντεθεῖσαι κατ' ἀλφάβητον.—ζ') Ἕτεραι Ἐπιμερισίαι.—η') Γνῶμαι κατ' ἐκλογὴν καὶ Ἀποφθέγματα ἐκ τοῦ Δημοκρίτου καὶ Ἐγχειριδίου τοῦ Ἐπικτήτου, καὶ τῆς πρὸς Δημόνικον Ἐπιστολῆς τοῦ Ἰσοκράτους καὶ ἑτέρων φιλοσόφων.—θ') Λεξικὸν κατὰ ἀλφάβητον.—ι') Λεξικὸν περὶ πνευμάτων ἐκλεγὲν ἐκ τῶν περὶ Πνευμάτων Τρύφωνος, Χοιροβοσκοῦ, Θεοδωρίτου καὶ ἑτέρων πολλῶν ἀντιγράφων πολλοῖς ἀντιβληθὲν καὶ διορθωθέν.

1091.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,24, πλάτ. 0,18, κατὰ τὸ 1675 ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τρίτῳ φύλλῳ, ἐκ φύλλων δὲ συγκείμενον 157. Πραγματεύεται: Περὶ γραμματικῆς τέχνης· ἐν ᾗ χεὶρ νεωτέρα ἐπέγραψε: «Γραμματικὴ Ἀπολλωνίου ἡ παροῦσα».

1092.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,15, κατ' ἀρχομένην ἴσως τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 143, οὗ τέ ἐννέα πρόςθια φύλλα εἰσὶν ἐφθαρμένα περὶ τὴν ᾠδαν. Ἐπιγέγραπται: Τοῦ σοφωτάτου ἀνδρὸς Μαξίμου τοῦ Πλανούδη Ἔκθεσις ὠφέλιμος περὶ τῆς τῶν ῥημάτων Συντάξεως.—Περὶ μεταβατικῶν καὶ ἀμεταβάτων.—Περὶ προςῳδίας.—Ἐν τέλει δέ: Περὶ συλλαβῶν καὶ μέτρων θεωρία.—Ἐκ τῆς Γραμματικῆς τέχνης Διονυσίου τοῦ Θρᾳκός: Περὶ συντάξεως τῶν στοιχείων καὶ περὶ τοῦ Ἀνακρεοντείου μέτρου.

1093.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,15, πλάτ. 0,11, κατὰ τὴν ΙΣ' ἑκα-

τονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 346 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ. Ἐν τοῖς προτέροις τριάκοντα καὶ ἐννέα φύλλοις φέρονται τὰ λειπόμενα τοῦ Στεφανίτου καὶ Ἰχνηλάτου Συμεῶνος τοῦ Σήθ. Εἶθ' οὕτως ἕπονται: Ἐρωτήματα διορθωθέντα παρὰ τοῦ σοφωτάτου καὶ λογιωτάτου κυροῦ Μανουὴλ Κρήτης [τοῦ Μοσχοπούλου]· μεθ' ἃ: Τοῦ ὑπάτου Ῥωμαίων Γεωργίου Σαιγιγνατίου Στίχοι ἴαμβοι ἕκαστος ἔχων τὰ κδ' γράμματα (εἰσὶν οἱ στίχοι πέντε).—Τοῦ αὐτοῦ: Στίχοι καρκινικοὶ (ὀκτώ).—Τοῦ αὐτοῦ Ἐρωτήματα εὐσύνοπτα· ὧν προτάσσονται: Στίχοι ἴαμβοι, εἷς ἕκαστος ἔχων τὰ ὀκτὼ μέρη τοῦ λόγου (στίχοι ὀκτώ).

1094.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,16, πλάτ. 0,11, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 212. Περιέχει καὶ τοῦτο: τὴν Γραμματικὴν Μανουὴλ τοῦ Μοσχοπούλου.

1095.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,14, πλάτ. 0,10, κατὰ τὴν ΙΖ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 93. Ἔστι καὶ τοῦτο: Γραμματικὴ τοῦ σοφωτάτου Θεοδώρου τοῦ Προδρόμου.

1096.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,15, πλάτ. 0,10, κατὰ τὴν ΙϹ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 123. Περιέχει καὶ τοῦτο τὰ Ἐρωτήματα Μανουὴλ Μοσχοπούλου τοῦ ἐκ Κρήτης.

1097.

Τεῦχος μήκ. 0,15, πλάτ. 0,11, ἀναμὶξ συγκεκαττυμένον ἐκ χάρτου βαμβακίνου καὶ περγαμηνῆς, ἧς φύλλα τινά εἰσι παλίμψηστα, ἐκ φύλλων δὲ συγκείμενον 400, ἐλλιπὲς ὅμως τῆς ἀρχῆς καὶ τοῦ τέλους. Γέγραπται κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα καὶ περιέχει: α') Ἀδήλου Κανόνας ὀρθογραφικοὺς κατὰ στοιχεῖον. — β') Ἑτέρους ἐπιμερισμοὺς κατὰ στοιχεῖον.—γ') Ἑρμηνευτικὰ εἴς τινας Ψαλμοὺς καὶ εἰς Παραβολὰς τοῦ ἱεροῦ Εὐαγγελίου.—δ') Συνέχειαν τῶν ὀρθογραφικῶν Κανόνων. — ε') Πασχάλιον ἀρχόμενον ἀπὸ τοῦ ἔτους ,ϛψπα' (+ 1273) καὶ καταλῆγον ἕως τοῦ ,ϛωβ' (+ 1294).—ϛ') Τεχνολογίαν (τοῦ Μοσχοπούλου ἴσως).—ζ') Λέξεις κατὰ στοιχεῖον καὶ πῶς γράφονται. —η') Ἐρωτήματα συντεθέντα παρὰ τοῦ σοφωτάτου κυροῦ Θεοδώρου τοῦ Προδρόμου πρὸς τὴν σεβασμιωτάτην αὐτοκρατόρισσαν.—θ') Περὶ τῶν εἰς μῖ συζυγιῶν.—ι') Σύνοψιν περὶ διαλέκτων,—καὶ ια') Στεφάνου τοῦ Γραμματικοῦ: Περὶ Γραμματικῆς.

1098.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,15, πλάτ. 0,11, κατὰ τὸ ,ζιε' (+ 1507) ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ φύλλῳ 42, ἐκ φύλλων δὲ συγκείμενον 308. Περιέχει: Σύμμικτά τινα περὶ τῶν ἡλικιῶν τοῦ ἀνθρώπου.—Περὶ τῶν τῆς ψυχῆς δυνάμεων.—Περὶ τῶν γενικῶν ἀρετῶν.—Περὶ πηλικότητος μέτρων.—Περὶ κινήσεως.—Περὶ τῶν τεσσάρων στοιχείων. Μεθ' ἃ ἕπεται: Ἀποκάλυψις τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου περὶ τῆς δευτέρας παρουσίας καὶ τῆς συντελείας, λεγομένη δὲ τῇ Κυριακῇ τῆς Τυρινῆς (ἐξ ἧς ἀπεκό-

πησαν ἐν τέλει φύλλα 4. Ἔστι δὲ ψευδεπίγραφος). — Στιχηρὰ Θεοτοκία τῶν η' ἤχων. — Ἀνωνύμου: Περὶ ὀρθογραφίας βιβλίον α'. Ἄρχεται: Τίνα διὰ τοῦ ἴστος ὀξύτονα ἢ προπαροξύτονα διὰ τοῦ ῖ γράφεται, καὶ καταλήγει εἰς τό: Τίνα διὰ τοῦ ω γράφεται. — Ἀνωνύμου (ἴσως τοῦ Μοσχοπούλου): Τεχνολογία. — Ἀνωνύμου: Λεξικὸν κατὰ στοιχεῖον. — Στίχοι πολιτικοὶ ἐκ διαφόρων ἱστοριῶν τοῦ παναγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Γερμανοῦ πάνυ ὠφέλιμοι. — Ἀνωνύμου: Περὶ προςῳδίας. — Ἀντίστοιχα κατὰ ἀλφάβητον κυροῦ Ἰωάννου τοῦ Δαμασκηνοῦ.

1099.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,21, πλάτ. 0,14, κατὰ τὴν ΙϛΙ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 109 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ. Περιέχει δὲ καὶ τοῦτο: τὰ Ἐρωτήματα Μανουὴλ τοῦ Μοσχοπούλου.

1100.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,15, κατὰ τὸ ϛχιδ' ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ συγκείμενον 186. Ἐπιγέγραπται: «Τοῦ σοφωτάτου καὶ λογιωτάτου καὶ πασῶν τῶν ἐπιστημῶν διδασκάλου καὶ μεγάλου ῥήτορος τῆς Μ. Ἐκκλησίας ἰατροῦ τε ἀρίστου τοῦ ἐκ Κωνσταντινουπόλεως [Ἀλεξάνδρου Μαυροκορδάτου τοῦ ἐξ Ἀποῤῥήτων] Περὶ γραμματικῆς συντάξεως κατὰ τὰ ὀκτὼ μέρη τοῦ λόγου». Εἶθ' οὕτω περιέχονται καὶ τὰ ἑξῆς: Θέσεις γραμματικαὶ πληρέσταται μεθόδῳ διαλεκτικῇ ὑποστρωθεῖσαι καὶ εἰς διάλεξιν προτεθεῖσαι ἐκ τῆς τέχνης θεωρητικῆς τε καὶ πρακτικῆς Ἰλαρίωνος Κιγάλα Κυπρίου ἱεροδιδασκάλου καὶ ἱεροκήρυκος. Μετὰ ταῦτα ἕπεται: Κατάλογος κατὰ στοιχεῖον μεταβατικῶν καὶ ἀμεταβάτων ῥημάτων καὶ μετὰ ποίων πτώσεων ταῦτα συντάσσονται.

1101.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,20, πλάτ. 0,14, κατὰ τὴν ΙΖ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 221. Ἐν αὐτῷ περιέχονται: α') Ἰλαρίωνος Κιγάλα Θέσεις γραμματικαὶ πληρέσταται μεθόδῳ διαλεκτικῇ ὑποστρωθεῖσαι κτλ. (ὡς ἀνωτέρω). — β') Ἀλεξάνδρου Μαυροκορδάτου (τοῦ ἐξ Ἀποῤῥήτων) Περὶ γραμματικῆς συντάξεως κατὰ τὰ ὀκτὼ μέρη τοῦ λόγου. — γ') Ἡφαιστίωνος: Ἐγχειρίδιον περὶ μέτρων. Εἰς τὸ αὐτὸ σχόλια περὶ βραχείας συλλαβῆς. — δ') Τοῦ αὐτοῦ: Περὶ μετρικῆς εἰςαγωγῆς ἢ περὶ ποιήματος. — ε') Γεωργίου Σουγδουρῆ τοῦ ἐξ Ἰωννίνων σοφωτάτου ἐν ἱεροδιδασκάλοις: Εἰς ἅπασαν τὴν λογικὴν τοῦ Ἀριστοτέλους μέθοδον Προδιοίκησις ἤτοι Εἰςαγωγή, — καὶ ϛ') Περὶ ποδῶν (τῆς μετρικῆς).

1102.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,17, κατὰ τὸ 1793 ἔτος γεγραμμένον, ὡς ἐν τῇ ἀρχῇ σημειοῦται, ἐκ φύλλων δὲ 188 συγκείμενον, ἀλλὰ διάτρητον ὑπὸ τῶν σητῶν κατὰ τὸ πλεῖστον. Περιέχει: Ἐξήγησιν εἰς τὸ Δ' τῆς γραμματικῆς Θεοδώρου τοῦ Γαζῆ, ὅλως διά-

φορον τῶν μέχρι τοῦ νῦν ἐκδοθεισῶν Ἑρμηνειῶν τῶν ἐπισημοτέρων διδασκάλων τῆς παρελθούσης ἑκατονταετηρίδος.

1103.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, κατ' ἀρχομένην τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 160. Ἐπιγέγραπται: «Κανέλλου Σπαναίου Πελοποννησίου Γραμματικὴ τῆς τουρκικῆς γλώσσης εἰς τέσσαρα βιβλία διῃρημένη.»

1104.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,16, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 60. Περιέχει: Ἀνωνύμου τινός Γραμματικὴν κατ' ἐρωταπόκρισιν.

1105.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, κατ' ἀρχομένην τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 52. Περιέχει: Κανόνας περὶ συντάξεως τῶν ὀκτὼ τοῦ λόγου μερῶν.

1106.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,16, κατ' ἀρχομένην τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 65. Ἐπιγέγραπται: «Γραμματικῆς μεθόδου τὸ περὶ συντάξεως». Ἀνωνύμου δὲ καὶ τοῦτο.

1107.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,15, πλάτ. 0,12, περὶ μεσοῦσαν τὴν ΙϛΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 157 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἐν τῇ ἀρχῇ. Περιέχονται ἐν αὐτῷ τάδε: α') Πυθαγόρου Χρυσᾶ ἔπη (ἄρχονται ἀπὸ τοῦ ἕκτου στίχου).—β') Σιβύλλης τῆς Ἐρυθραίας Περὶ τοῦ Κυρίου ἡμῶν Στίχοι ἔχοντες ἀκροστιχίδα τήν δε: «Ἰησοῦς Χριστὸς, Θεοῦ υἱὸς, Σωτὴρ, Σταυρός».—γ') Ὠδάριον κατανυκτικὸν, ποίημα κυροῦ Λέοντος φιλοσόφου καὶ βασιλέως κατὰ ἀλφάβητον διὰ στίχων ὀκτασυλλάβων τῶν λεγομένων ἀνακρεοντείων.—δ') Στίχοι ἡρωελεγεῖοι εἰς τὴν Κοίμησιν τῆς ὑπερευλογημένης θεοτόκου Μαρίας· εἰσὶ δὲ ὡς ἐν εἴδει διηγήσεως ποίημα Δαμασκηνοῦ μοναχοῦ τοῦ Στουδίτου.—ε') Στίχοι εἰς τὸν Φωκυλίδην.—ϛ') Εἰς τὸν αὐτὸν ἕτεροι.—ζ') Φωκυλίδου: Ποίημα νουθετικόν.—η') Κάτωνος Ῥωμαίου: Γνῶμαι παραινετικαὶ δίστιχοι, ἃς μετήνεγκεν ἐκ τῆς Λατίνων φωνῆς εἰς τὴν Ἑλλάδα διάλεκτον Μάξιμος μοναχὸς ὁ Πλανούδης.—θ') Κανόνια διάφορα περὶ τοῦ εὑρίσκειν τὸ Πάσχα κτλ.—ι') Ἀριθμητικὴ, —καὶ ια') Γραμματικὴ Κωνσταντίνου τοῦ Λασκάρεως.

1108.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,17, ἐν ἡμικλάστῳ γεγραμμένον κατ' ἀρχομένην τὴν ΙΘ' ἑκατονταετηρίδα, ἐκ φύλλων δὲ συγκείμενον 154. Ἐπιγέγραπται: «Εἰσαγωγὴ περὶ Γλώσσης καὶ Γραμματικῆς» καὶ ἔστιν ἐν διπλῷ ἀντιγράφῳ.

1109.

Τευχίδιον ἐκ χάρτου κοινοῦ μήκ. 0,18, πλάτ. 0,12, κατὰ τὸ 1799 ἔτος γεγραμμένον, ὡς ἐν τῇ ἀρχῇ σημειοῦται, ἐκ φύλλων δὲ συγκείμενον

22. Πραγματεύεται περὶ τῆς ἀναγκαίας σπουδῆς τῆς ἑλληνικῆς γλώσσης.

1110.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,23, πλάτ. 0,16, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 271 συγκείμενον. Περιέχει: Λέξεις κατὰ στοιχεῖον τῆς κοινῆς γλώσσης μεθερμηνευομένας εἰς τὴν ἀρχαίαν.

1111.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,18, πλάτ. 0,13, περὶ τὴν ΙΘ' ἀρχομένην ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 177. Ἐπιγέγραπται: «Λεξικὸν ἀναγκαίων τινῶν λέξεων καὶ ἀξιοσημειώτων ἢ διὰ τὴν παρὰ συγγραφεῦσι σπανίαν χρῆσιν ἢ διαφέρουσαν, ἢ διὰ τὸ χρειωδεστέρας εἶναι ἐκ τῆς ἀναγνώσεως πολλῶν συγγραφέων».

1112.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,19, πλάτ. 0,14, κατὰ τὸ 1796 ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ συγκείμενον 51. Ἐπιγέγραπται: «Τοῦ πανσεβάστου καὶ κριτοῦ Θεσσαλονίκης τοῦ Ἀρμενοπούλου Λεξικὸν κατὰ στοιχεῖον περιέχον τὰ κοινῶς γραφόμενα ῥήματα, ἐν ᾧ δείκνυται τίνα μὲν αὐτῶν εἰσὶν ἀμετάβατα, τίνα δὲ μεταβατικὰ, καὶ τούτων τίνι συντάσσεται ἕκαστον, καὶ τί δηλοῖ, καὶ μετὰ πόσων προθέσεων συντάσσεται ἑφ' ἑνὶ ἑκάστῳ στοιχείῳ κτλ.»

1113.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,17, περὶ τελευτῶσαν τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 167. Ἔστι δὲ Ἀνωνύμου τινὸς: Σύνοψις τῆς Χυμίας. Ἀπὸ δὲ τοῦ φύλλου 50 ἕως τέλους πραγματεύεται περὶ φιλοσοφίας εἰς δύο τμήματα διῃρημένης.

1114.

Τεῦχος ἐκ χάρτου λαμπροῦ μήκ. 0,23, πλάτ. 0,17, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα καθαρῶς καὶ ὀρθῶς γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 61. Περιέχει: τὰς Εἰκόνας Φιλοστράτου τοῦ Πρεσβυτέρου.

1115.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,21, πλάτ. 0,15, κατὰ τὴν ΙΕ' ἀρχομένην ἴσως ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 138, ἐλλιπὲς δ' ἐν τῇ ἀρχῇ. Ἐν τῷ πρώτῳ φύλλῳ φέρεται ἡ σημείωσις ἥδε: «Πρὸς τοῖς ἄλλοις καὶ τόδε Ἀνδρονίκου Καρυοφύλλου υἱοῦ μεγάλου Λογοθέτου». Περιέχονται δ' ἐν αὐτῷ α') Νικομάχου Γερασηνοῦ Πυθαγορίου Εἰσαγωγὴ τῆς Ἀριθμητικῆς βιβλία δύο. Τούτων προτέτακται Πρόλογος οὐχὶ τοῦ αὐτοῦ Νικομάχου, ἀλλ' ἑτέρου τινὸς Ἀδήλου, οὐκ ἐμφερόμενος ἐν αἷς εἴχομεν ὑπ' ὄψιν δυσὶν ἐκδόσεσι, τῇ ἐν Παρισίοις τοῦ 1538 καὶ τῇ ἐν Λειψίᾳ τοῦ Ρικάρδου Hothe 1866, τελευτῶν οὕτω: (λείπει γὰρ ἡ ἀρχὴ) «εὐθὺς δὲ τῆς πραγματείας ἀρχόμενος ὁ Νικόμαχος δείκνυσιν ὡς ἄνευ τῆς μαθηματικῆς ἐπιστήμης οὐκ ἔστι φιλοσοφεῖν οὐδὲ εὐδαιμονεῖν, καὶ συλλογιζόμενος οἷον, φησὶ τὸ εὐδαιμονεῖν οὐκ ἄνευ φιλοσοφίας· ἡ φιλοσοφία οὐκ ἄνευ μαθημάτων· τὸ εὐδαιμονεῖν ἄρα οὐκ ἄνευ μαθη-

μάτων, διὰ τοῦ β' λέγει συλλογισμοῦ. Ἡ φιλοσοφία γνῶσις τῶν ὄντων· τὰ ὄντα ἢ συνεχῆ ἢ διωρισμένα, περὶ ταῦτα τὰ μαθήματα καταγίνεται· τὸ φιλοσοφεῖν ἄρα διὰ τῶν μαθημάτων». — β') Ἀριθμητικοὶ ὅροι διάφοροι. — γ') Προλεγόμενα τῆς γεωμετρίας. — δ') Ἀριστοτέλους: Περὶ κόσμου πρὸς Ἀλέξανδρον. — ε') Πλουτάρχου: ἐκ τοῦ Περὶ τῶν ἀρεσκόντων τοῖς φιλοσόφοις, — καὶ ϛ') Συμεὼν Μαγίστρου τοῦ Σήθ: Σύνοψις τῶν φυσικῶν. Ἐν τέλει δὲ τοῦ Περὶ κόσμου τοῦ Ἀριστοτέλους εὕρηται τὸ ἑξῆς Ἐπίγραμμα:

Πολλὰ παλαιολόγων ἐδαΐζετο πλήθεα βίβλων,
Ἥδε δὲ καὶ μούνη ἕδρα λεπλασίην
Ὄφρα πολυκτεάνου Δημοκρίτου ἀθρόας εἴη
Λησταίης γε βραχὺ κτῆμα παρηγορίης.

1116.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,15, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 295 συγκείμενον. Περιέχει α') Λόγους τινὰς Γρηγορίου τοῦ Ναζιανζηνοῦ ἡρμηνευμένους διὰ τῆς λεγομένης ψυχαγωγίας ὅπως καὶ τὸ ὑπ' ἀριθ. 1072. — β') Ἀνωνύμου: Λόγους τέσσαρας εἰς τὸ σεπτὸν πάθος τοῦ Σωτῆρος καὶ τρεῖς πανηγυρικοὺς εἰς τοὺς ἁγίους Ἀποστόλους. — γ') Ἕτερον εἰς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου. — δ') Ἕτερον εἰς τὸ ῥητὸν τοῦ Ἰωάννου Κεφ. Α', 46. Τελευταῖον δὲ εὕρηται: Ἀλεξάνδρου Μαυροκορδάτου τοῦ μεγάλου λογοθέτου τῆς Μ. Ἐκκλησίας καὶ γενικοῦ ἑρμηνέως τῆς κραταιᾶς βασιλείας Ἐπιστολαὶ ἕνδεκα, αἵ πᾶσαι ἐμφέρονται ἐν τῇ ὑπὸ Θ. Λιβαδᾶ φιλοπονηθείσῃ ἐκδόσει τῶν ἐκείνου περισωθεισῶν Ἐπιστολῶν.

1117.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,17, περὶ τελευτῶσαν τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 113. Περιέχονται ἐν αὐτῷ: α') Στίχοι ἰαμβοι χρηστοπηθείας πλήρεις παραφρασθέντες Δανιὴλ [Κεραμεῦ] τῷ Πατμίῳ. — β') Τοῦ αὐτοῦ: Τοῖς μηθητῶσιν Ἑλλήνων παισὶν Εἰςαγωγὴ περὶ τοῦ ὅπως δεῖ ἑρμηνεύειν τὸν κατὰ γραμματικὴν λόγον, οἷς καὶ τὸ χαίρειν ἀπονέμω. — γ') Λουκιανοῦ τὸ Ἐνύπνιον. — δ') Βασιλείου τοῦ μεγάλου Λόγοι δύο, — καὶ ε') Ἐκ τῶν ὑπὸ Κοσμᾶ καὶ Ἰωάννου ποιηθέντων Κανόνων τῶν δεσποτικῶν ἑορτῶν ὁ Εἰς τὴν Ὕψωσιν τοῦ Σταυροῦ, ὁ Εἰς τὴν Γέννησιν τοῦ Σωτῆρος, ὁ τοῦ μεγάλου Σαββάτου καὶ ὁ τοῦ Πάσχα. Πάντα εἰσὶ διὰ τῆς ψυχαγωγίας ἡρμηνευμένα.

1118.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,21, πλάτ. 0,16, κατὰ τὴν ΙΗ' ἀρχομένην ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 348. Περιέχονται ἐν αὐτῷ τάδε· α') Γρηγορίου τοῦ Ναζιανζηνοῦ Λόγος Εἰς τὰ Θεοφάνεια εἴτουν Γενέθλια τοῦ Σωτῆρος. — β') Τοῦ σοφωτάτου Ψελλοῦ: Εἰς τὸ «Θεωρία ἦν τὸ φυτὸν ὡς ἡ ἐμὴ θεωρία». γ') Γρηγορίου τοῦ Ναζιανζηνοῦ Λόγος Εἰς τὸ ἅγιον Βάπτισμα. — δ') Τοῦ αὐτοῦ Εἰς τὴν βραδυτῆτα. — ε') Τοῦ αὐτοῦ Εἰς τὸ ἅγιον Πάσχα. — ϛ') Τοῦ αὐτοῦ Εἰς τὴν ἁγίαν Πεντηκοστήν. — ζ') Τοῦ αὐτοῦ Εἰς τὴν Καινὴν κυριακήν. — η') Τοῦ αὐτοῦ Εἰς Βασίλειον τὸν μέγαν

ἐπιτάφιον ψυχαγωγικῶς ἡρμηνευμένον. — θ') Ἐγκώμιον τῷ οἰκουμενικῷ κὺρ Ἰωάσαφ, οὗ ἡ ἀκροστιχίς:

Χριστοῦ πέλων ἔμψυχος εἰκὼν δεσπότου
Δέξαι, πάτραρχε, τὸ βραχὺ σπούδασμά μου.

ι') Στίχοι ἰαμβικοὶ τοῦ μεγάλου Λογοθέτου εἰς τοὺς ἐν τῇ Πόλει καὶ τῷ Γαλατᾷ σπουδαίους, ὧν ἡ ἀκροστιχίς: Ἱέρακος. — ια') Ἕτεροι Στίχοι εἰς τὴν οἰκίαν τοῦ μεγάλου χαρτοφύλακος κὺρ Κωνσταντίνου ἱερέως, ὕστερον δὲ οἰκονόμου, τὴν ἐν αἰγιαλῷ κατασκευασθεῖσαν. — ιβ') Ἕτεροι περὶ χαλάζης. — ιγ') Ἑρμηνεία τῶν ἐν τῇ Καινῇ Διαθήκῃ ἑβραϊκῶν κυρίων ὀνομάτων. — ιδ') Γρηγορίου τοῦ Ναζιανζηνοῦ Εἰς τὸν μέγαν Βασίλειον ἐπικήδεια ψυχαγωγικῶς ἡρμηνευμένα. — ιε') Αἰνίγματά τινα. — ιϛ') Αἱ ὑποθέσεις τῶν πανσόφων Λόγων Γρηγορίου τοῦ Θεολόγου. — ιζ') Ποίημα κὺρ Λέοντος φιλοσόφου καὶ βασιλέως κατὰ ἀλφάβητον διὰ στίχων ὀκτασυλλάβων, τῶν λεγομένων Ἀνακρεοντείων. — ιη') Μονόστιχα ἑξάμετρα κατὰ ἀλφάβητον πεποιημένα ὑπὸ τοῦ αὐτοῦ κατὰ τὰς προκειμένας ὑποθήκας, ὧν ἕκαστον ἰδίαν ἔννοιαν περιέχει. — ιθ') Παράφρασις εἰς τό: «Ὑποθῆκαι παρθένοις» Γρηγορίου τοῦ Θεολόγου πονηθεῖσα ὑπ' ἐμοῦ τοῦ ἐν σπουδαίοις ἐλαχίστου Σεβαστοῦ Τραπεζουντίου τοῦ Κυμινίτου. — κ') Ἐξήγησις [τοῦ αὐτοῦ;] εἰς τό: «Χριστὲ ἄναξ» τοῦ ἁγίου Γρηγορίου. — κα') Βίος ἐν ἐπιτομῇ Γρηγορίου τοῦ Θεολόγου. — κβ') Ἀττικισμοὶ τῶν λογίων. — κγ') Τοῦ σοφωτάτου κυρίου Θεοφίλου τοῦ Κορυδαλέως, τοῦ ὕστερον διὰ τοῦ θείου καὶ μοναχικοῦ σχήματος Θεοδοσίου μετονομασθέντος: Ἔκθεσις περὶ ἐπιστολικῶν τύπων, — καὶ κδ') Συμεὼν Μαγίστρου τοῦ Σήθ: Σύνοψις τῶν φυσικῶν.

1119.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,18, περὶ ἀρχομένην τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 233. Ἐν τῷ πρώτῳ φύλλῳ φέρεται ἡ σημείωσις αὕτη: Πρὸς τοῖς ἄλλοις πόνος καὶ τοῦτο Ἰωάννου Καλλιάρχου Χίου. Περιέχονται δὲ ἐν αὐτῷ: α') Βασιλείου τοῦ μεγάλου Ὁμιλία ὅτι οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ θεός. — β') Κανὼν ἀσματικὸς τῆς Ὑψώσεως τοῦ τιμίου Σταυροῦ. — γ') Κανὼν τῶν Χριστουγέννων. — δ') Κανὼν τῶν Θεοφανίων. — ε') Κανὼν τῆς Ὑπαπαντῆς. — ϛ') Κανὼν τῶν Βαΐων. — ζ') Κανόνες τῆς μεγάλης Δευτέρας, Τρίτης, Τετάρτης καὶ Πέμπτης, — καὶ η') Συνεσίου: Ἐπιστολαί. Εἰσὶ δὲ τὰ πάντα ψυχαγωγικῶς ἡρμηνευμένα. Ἐν τέλει δὲ σημειοῦται ταῦτα: «Πόνος Ἰωάννου Καλλιάρχου Χίου. Εἰς τὸ 1714 μηνὶ Ἀπριλίῳ κε' ἐτελείωσα τὴν ἰατρικὴν εἰς τὸν ἐκλαμπρότατον κύριον Γεώργιον Καλαφάτην ἐμὸν διδάσκαλον εἰς τὸ περίφημον λυκεῖον τοῦ Παταβίου εἰς Πάντουβαν».

1120.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,18, κατὰ τὴν ΙΖ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 486 συγκείμενον. Περιέχει: α') Λουκιανοῦ: τὸ Ἐνύπνιον καί τινας τῶν Νεκρικῶν Διαλόγων. — β') Ἰσιδώρου τοῦ Πηλουσιώτου: Ἐπιστολάς τινας. — γ') Γρηγορίου τοῦ

Θεολόγου: Λόγους.—δ') Βασιλείου τοῦ μεγάλου: Παραίνεσιν πρὸς τοὺς νέους ὅπως ἂν ἐκ τῶν ἑλληνικῶν ὠφελοῖντο λόγων.—ε') Ἰωάννου τοῦ Χρυσοστόμου: Λόγον εἰς Εὐτρόπιον.—ϛ') Φωτίου πατριάρχου Κωνσταντινουπόλεως: ἐκ τῆς πρὸς Μιχαὴλ τὸν ἄρχοντα Βουλγαρίας Ἐπιστολῆς, «Τί ἐστιν ἔργον ἄρχοντος».—ζ') Ὁμήρου: Ἰλιάδος Α.—η') Γρηγορίου τοῦ Θεολόγου: Πρὸς Σέλευκον διὰ στίχων.—θ') Ἐπιγράμματά τινα ἐκ τῆς Ἀνθολογίας,—καὶ ι') Ὁμήρου: Βατραχομυομαχίαν. Τὰ πάντα εἰσὶ ψυχαγωγικῶς ἡρμηνευμένα. Ἐν τῷ φύλλῳ 320[6] ἀναγινώσκεται τὸ ἑξῆς σημείωμα: Τῷ ᾳψνθ' ἐν μηνὶ Ἀπριλίῳ ϛ' ἐν Βουκουρεστίῳ τῆς Βλαχίας ὑπὸ τοῦ δευτερεύοντος διδασκάλου ἐν τῇ σχολῇ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου καὶ Θεοδώρου καλουμένου Νεόφυτος ἱερομόναχος Καλούτζης. Ἐν δὲ τῷ φύλλῳ 382[a] τοῦτο: Ἔσχε τὸ πέρας καὶ ὁ παρὼν ἐν θεογονίας ἔτει ᾳψνη' ἐν μηνὶ Φεβρουαρίῳ ε' παρ' ἐμοῦ τοῦ ἐλαχίστου Νεοφύτου ἱερομονάχου τοῦ καὶ Καλούτζη λεγομένου, ἐξηγηθέντος μοι παρὰ τοῦ ἱεροδιδασκάλου Τρύφωνος τοῦ ἐκ Μετζόβου, ὄντος μου ἐν τῇ περιφήμῳ πόλει τῶν Ἰωαννίνων.

1121.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,23, πλάτ. 0,17, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 340 συγκείμενον. Περιέχει: α') Λουκιανοῦ: τὸ Ἐνύπιον.—β') Ἰσοκράτους: Πρὸς Δημόνικον παραίνεσιν.—γ') Τοῦ αὐτοῦ: Πρὸς Νικοκλέα.—δ') Πλουτάρχου: Περὶ παίδων ἀγωγῆς,—καὶ ε') Εὐριπίδου: Ἑκάβην· μεθ' ἃ Ἐκλογὰς Ἐπιστολῶν ἀπὸ τῶν τοῦ Χρυσοστόμου, Ἰσιδώρου τοῦ Πηλουσιώτου καὶ Ἰουλιανοῦ. Εἶθ' οὕτω τ ἴσσονται τὰ ἑξῆς φύρδην μίγδην καὶ ἀσυναρτήτως πρὸς ἄλληλα, οἷον: Ἀδήλου [ἴσως Συνεσίου] Ἐπεστολαί.—Ἐκ τοῦ Β τῆς Ἰλιάδος.—Αἰσώπου: Μῦθοι τινες.—Θέματα κοινὰ καὶ ἑλληνικὰ ἐπιγεγραμμένα: «Θέμα τοῦ διδασκάλου μοι Κωνσταντίνου»—καὶ τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου: Ἀπολογητικὸς τῆς εἰς Πόντον φυγῆς ἕνεκεν κτλ., ἀτελὴς ὅμως. Τὰ πάντα ψυχαγωγικῶς ἡρμηνευμένα.

1122.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, περὶ τελευτῶσαν τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 458, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Περιέχει: Τοὺς ᾀσματικοὺς Κανόνας τῶν Χριστουγέννων καὶ Φώτων.—Γρηγορίου τοῦ Θεολόγου: Λόγον εἰς τὰ Γενέθλια τοῦ Σωτῆρος καὶ τὴν Βάπτισιν.—Τοῦ αὐτοῦ [γρ. Χρυσοστόμου] Λόγον εἰς τὸν ἀπόστολον Παῦλον.—Τοῦ αὐτοῦ: Περὶ τῶν τοῦ βίου [ὁδῶν].—Τοῦ αὐτοῦ: Εἰς τὸν μέγαν Βασίλειον Ἐπικήδεια καὶ Γνωμικὰ δίστιχα.—Τοῦ αὐτοῦ [γρ. τοῦ Χρυσοστόμου]: Περὶ ἱερωσύνης Λόγον Β'.—Τοῦ αὐτοῦ [γρ. τοῦ Μ. Βασιλείου]: Ὁμιλία εἰς τό: «Πρόσεχε σεαυτῷ».—Τοῦ Χρυσοστόμου: Λόγον περὶ προσευχῆς.—Τοῦ αὐτοῦ: Περὶ ἱερωσύνης Λόγον Α' (ἐν τέλει τοῦ Λόγου σεσημείωται: Τετέλεσται ἐν μηνὶ Φευρουαρίῳ ἐκ τοῦ καθ' ἡγεμώνος Πέτρου Ἰθακισίου).—Τοῦ αὐτοῦ: Εἰς τὴν Καινὴν

Κυριακήν.—Τοῦ αὐτοῦ: Ἐγκώμιον εἰς τοὺς ἁγίους Πάντας.—Βασιλείου τοῦ μεγάλου: Εἰς τὴν ἀρχὴν τοῦ Α' Ψαλμοῦ.—Τοῦ αὐτοῦ: Εἰς τὸν ΛΓ' ψαλμόν.—Τοῦ αὐτοῦ: Εἰς Βαρλαὰμ μάρτυρα.—Λιβανίου: Πρεσβευτικὸν πρὸς τοὺς Τρῶας ὑπὲρ τῆς Ἑλένης.—Τοῦ αὐτοῦ [γρ. Βασιλείου]: Περὶ προνοίας Λόγον Β'.—Τοῦ αὐτοῦ: Εἰς τοὺς ἁγίους τεσσαράκοντα μάρτυρας.—Τοῦ αὐτοῦ: Ὁμιλίαν Α' Περὶ φθόνου.—Θεμιστίου φιλοσόφου τοῦ ἐπικληθέντος Εὐφραδοῦς: Περὶ φιλίας (ἐν τέλει τοῦ Λόγου τούτου φέρεται ἡ σημείωσις ἥδε: Ὑπὸ χειρὸς ἐμοῦ Κωνσταντίνου τοῦ Ναουσαίου ἐγράφθη, παραδεδομένα ὑπὸ τοῦ κὺρ Παναγιώτου Παλαμᾶ 1781 Φεβρουαρίου 26 εἰς Μεσολόγγι).—Τοῦ αὐτοῦ [γρ. Χρυσοστόμου]: Περὶ νηστείας.— Γνώμας μονοστίχους κατὰ στοιχεῖον ἐκ διαφόρων ποιητῶν.—Ἀντωνίου τοῦ Βυζαντίου: Χρηστοήθειαν (καταλήγει εἰς τὴν ρπδ' παράγραφον). Ταῦτα δὲ πάντα εἰσὶ ψυχαγωγικῶς ἡρμηνευμένα.

1123.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, κατ' ἀρχομένην τὴν ΙΖ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 554, ἀλλ' ἐλλιπὲς τῆς ἀρχῆς τριῶν καὶ δέκα φύλλων ἐκρυέντων, ὡς καί τινων ἐκ τοῦ τέλους. Περιέχει καὶ τοῦτο Λόγους τινὰς καὶ Ἐπιστολὰς ἀπό τε τῶν ἐκκλησιαστικῶν πατέρων καὶ τῶν θύραθεν, ἡρμηνευμένους ὡσαύτως ψυχαγωγικῶς.

1124.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,16, κατὰ τὴν ΙΖ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 151. Περιέχει: Τοὺς ᾀσματικοὺς Κανόνας τοῦ Κοσμᾶ καὶ Ἰωάννου εἰς τὰς δεσποτικὰς ἑορτάς, ἡρμηνευμένους ὡσαύτως ψυχαγωγικῶς.

1125.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,15, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 218. Περιέχει: α') Διαλόγους ἑπτὰ ἐν εἴδει γυμνασμάτων μαθητικῶν.—β') Νείλου ἐπισκόπου: Νουθεσίας πάνυ ὠφελεῖς.—γ') Ἀγαπητοῦ Διακόνου: Ἔκθεσιν κεφαλαίων παραινετικῶν.—δ') Φωτίου Κωνσταντινουπόλεως: Ἐκ τῆς πρὸς Μιχαὴλ τὸν ἄρχοντα Βουλγαρίας Ἐπιστολῆς.—ε') Ἀντωνίου τοῦ Βυζαντίου: Χρηστοήθειαν, ἐν παραγράφοις ρνε'.—ϛ' Ἰσοκράτους: Πρὸς Δημόνικον, καὶ ζ') Θεόγνιδος Μεγαρέως Σικελιώτου: Γνώμας ἐλεγειακάς.

1126.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, περὶ μεσοῦσαν τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 201. Περιέχονται ἐν αὐτῷ: α') Συνεσίου: Ἐπιστολαὶ ΝΘ', ὧν αἱ πλείους ψυχαγωγικῶς ἡρμηνευμέναι,—καὶ β') Μαξίμου τοῦ Μαργουνίου καὶ ἄλλων τινῶν Ἐπιστολαὶ ρλβ'.

1127.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,20, πλάτ, 0,14, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 258. Περιέχει: α') Θεοδώρου τοῦ Προδρόμου: Τετράστιχα ἰαμβικὰ καὶ ἡρωελεγεῖα εἰς

τὰ κεφαλαιωδῶς ῥηθέντα ἐν τῇ παλαιᾷ πάσῃ Γραφῇ.—β') Κοσμᾶ καὶ Ἰωάννου: Κανόνας ἀσματικοὺς εἰς τὰς δεσποτικὰς ἑορτάς.—γ') Πλουτάρχου: Περὶ παίδων ἀγωγῆς, καὶ Περὶ τοῦ ἀκούειν, καὶ Περὶ πολυπραγμοσύνης. Τὰ πάντα ψυχαγωγικῶς ἡρμηνευμένα.

1128.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,23, πλάτ. 0,16, κατὰ τὸ 1805 ἔτος γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 197. Περιέχονται ἐν αὐτῷ: α') Ἰγνατίου τοῦ εὐλαβεστάτου σκευοφύλακος τῆς Μ. Ἐκκλησίας: Παραίνεσις τοῖς νέοις κατὰ στοιχεῖον.—β') Γρηγορίου τοῦ Θεολόγου: Ἰαμβικοὶ παραινετικοὶ κατὰ στοιχεῖον.—γ') Γνῶμαι μονόστιχοι κατὰ στοιχεῖον ἐκ διαφόρων ποιητῶν.—δ') Γαβρίου Ἕλληνος: Τετράστιχα.—ε') Γρηγορίου τοῦ Θεολόγου: Στίχοι κατὰ ἀλφάβητον.—ϛ') Τοῦ αὐτοῦ: Περὶ τῶν τοῦ βίου ὁδῶν.—ζ') Τοῦ αὐτοῦ: Εἰς τὸν μέγαν Βασίλειον Ἐπικήδεια.—η') Τοῦ αὐτοῦ: Γνωμικὰ δίστιχα καὶ τετράστιχα.—θ') Τοῦ ἀββᾶ Νείλου: Νουθεσίαι πάνυ ὠφελεῖς.—ι') Κοσμᾶ καὶ Ἰωάννου: Κανόνες ἀσματικοὶ εἰς τὰς δεσποτικὰς ἑορτὰς καὶ τῆς μεγάλης ἑβδομάδος,—καὶ ια') Λεξιλόγιον. Πάντων οὖν τούτων τὰ μέν εἰσι ψυχαγωγικῶς ἡρμηνευμένα, τὰ δὲ ἔχουσι τὴν ἑρμηνείαν ὑπ' αὐτὸ τὸ κείμενον ἑκάστου Τροπαρίου.

1129.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,17, πλάτ. 0,11, κατ' ἀρχομένην ἴσως τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 256. Περιέχει μέρος τῆς Ξενοφῶντος Κύρου Παιδείας ψυχαγωγικῶς ἡρμηνευμένης.

1130.

Τετράδια δύο ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,17, περὶ τελευτῶσαν τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένα, ὧν τὸ μὲν συγκείμενον ἐκ φύλλων 20 περιέχει: Μύθους τοῦ Αἰσώπου· τὸ δὲ ἐκ φύλλων 7: Τετράστιχα ἰαμβεῖα καὶ ἡρῷα Θεοδώρου τοῦ Προδρόμου, ἀτελῆ ἀμφότερα. Εἰσὶ δὲ καὶ ταῦτα ψυχαγωγικῶς ἡρμηνευμένα.

1131.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 419, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Περιέχονται ἐν αὐτῷ Γρηγορίου τοῦ Θεολόγου: Γνωμικὰ δίστιχα.—Λουκιανοῦ: Ἐνύπνιον καὶ Νεκρικοὶ Διάλογοι.—Κοσμᾶ καὶ Ἰωάννου: Κανόνες ἀσματικοὶ εἰς τὰς δεσποτικὰς ἑορτάς.—Ἑρμηνεία τοῦ παραινετικοῦ ποιήματος τοῦ Φωκυλίδου.—Γρηγορίου τοῦ Θεολόγου: Γνωμικὰ τετράστιχα καὶ μονόστιχα.—Ἰσοκράτους: Πρὸς Δημόνικον, Πρὸς Νικοκλέα καὶ Πανηγυρικός.—Ἐπιστολαὶ ἀπὸ τῶν ἀρχαίων ἐπιστολογράφων ἠρανισμέναι.—Βασιλείου τοῦ μεγάλου: Ἐπιστολαί.—Ἀριστοφάνους: Πλοῦτος καὶ Νεφέλαι.—Εὐριπίδου: Ἑκάβη.—Ὁμήρου: Ἰλιάδος Α (ἀτελής).—Κανόνες τοῦ μεγάλου Σαββάτου καὶ τοῦ Πάσχα.—Ὁμήρου: Ἰλιάδος Β (ἀτελής). Ἐν τούτῳ ἡ ἑρμηνεία γέγραπται πλαγίως τοῦ κειμένου, τουτέστι περὶ τὴν ὤαν.

1132.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, κατὰ τὸ 1706 ἔτος γεγραμμένον, ὡς ἐν τῇ ἀρχῇ σημειοῦται, ἐκ φύλλων δὲ συγκείμενον 258. Περιέχει Κοσμᾶ καὶ Ἰωάννου: Κανόνας ᾀσματικοὺς εἰς τὰς δεσποτικὰς ἑορτάς. — Γρηγορίου τοῦ Θεολόγου: Γνωμικὰ τετράστιχα.— Πλουτάρχου: Περὶ παίδων ἀγωγῆς. — Ἐξήγησιν τῶν τροπαρίων τῆς Ὀκτωήχου. Ἐν τούτῳ ἡ ἑρμηνεία κεῖται παραπλεύρως τοῦ κειμένου ἐν ἡμικλάστῳ, τὸ δὲ κείμενον γέγραπται κατ' ἀνάλυσιν συντακτικήν.

1133.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,16, κατὰ τὸ 1740 ἔτος γεγραμμένον, ὡς ἐν τῇ ἀρχῇ σημειοῦται, ἐκ φύλλων δὲ συγκείμενον 197. Περιέχονται ἐν αὐτῷ α') Ἀγαπητοῦ Διακόνου: Κεφάλαια παραινετικά. —β') Ἰσοκράτους: Πρὸς Δημόνικον καὶ Πρὸς Νικοκλέα. — γ') Βασιλείου τοῦ μεγάλου: Νουθεσία πρὸς τοὺς νέους. — δ') Λουκιανοῦ: Πατρίδος ἐγκώμιον, Τυραννοκτόνος, Ἀποκηρυττόμενος καὶ Περὶ τοῦ μὴ ῥᾳδίως πιστεύειν τῇ διαβολῇ,—καὶ ε') Ἀριστοφάνους: Πλοῦτος. Ἐν τέλει δὲ περιέχεται ἱστορία θαύματός τινος ἐν Κερκύρᾳ γενομένου κατὰ τὸ 1530 ἔτος. Καὶ τοῦτο δὲ ἔχει τὴν ἑρμηνείαν ὡς τὸ προηγούμενον.

1134.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,14, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 53. Περιέχει: Βασιλείου τοῦ μεγάλου τὴν Πρὸς τοὺς νέους παραίνεσιν. Καὶ τούτου ἡ ἑρμηνεία ἐστὶν ὡς ἡ τοῦ προηγουμένου.

1135.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,18, πλάτ. 0,13, κατ' ἀρχομένην τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 223. Ἐπιγέγραπται: «Ποικίλη Χρηστομάθεια, ἐν ᾗ ἐκ τῆς ἀναγνώσεως διαφόρων συγγραφέων τά τε ἱστορικῶς εἰρημένα καὶ τὰ ἄλλως χρήσιμα ὄντα καὶ περιεργείας ἄξια συνείλεκται· πρὸς δὲ τῷ τέλει, ὅσα ἐκκλησιαστικῆς ὑποθέσεως ὄντα ἔχουσί τι σὺν τῷ χρησίμῳ περίεργον, ἐτέθη».

1136.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,18, περὶ ἀρχομένην ἴσως τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 174. Περιέχει Γρηγορίου τοῦ Θεολόγου: τὰ Τετράστιχα Γνωμικὰ πλατύτερον ἐξηγημένα, καὶ τὰ Κατὰ ἀλφάβητον Μονόστιχα τοῦ αὐτοῦ, ὡσαύτως πλατύτερον ἐξηγημένα.

1137.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,16, κατ' ἀρχομένην τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 114, ἀλλ' ἐλλιπὲς τῆς ἀρχῆς. Περιέχει α') Θωμᾶ Μαγίστρου: Ἐκλογάς. — β') Φρυνίχου: Ἐκλογὴν ῥημάτων καὶ ὀνομάτων ἀττικῶν,—καὶ γ') Ἐκ τῆς Ἑλλαδίου Βησαντι[νό]ου ἐπιγραφομένης: Πραγματείας Χρηστομαθειῶν (μετείληπται ἀπὸ τῆς Φωτίου βιβλιοθήκης κῶδ. 279).

1138.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,33, πλάτ. 0,22, κατὰ τὴν ΙΗ' ἑκα-

τονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 177. Ἐπιγέγραπται: «Ἀλεξάνδρου Μαυροκορδάτου Κωνσταντινουπολίτου μεγάλου λογοθέτου τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καὶ ἐξ Ἀπορρήτων τῆς κραταιᾶς βασιλείας τῶν Ὀθωμανῶν, Γνῶμαι· μεθ' ἃς ἕπονται τοῦ αὐτοῦ: Φροντίσματα ἐν δυσὶ βιβλίοις.

1139.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,28, πλάτ. 0,20, κατ' ἀρχομένην τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 152. Περιέχει α') Νικολάου Κούρσουλα τοῦ Ζακυνθίου: Ὑπομνήματα καὶ Ζητήματα εἰς τὸ Ἀριστοτέλους Περὶ γενέσεως καὶ φθορᾶς Α' καὶ Β' βιβλίον,—καὶ β') Τοῦ σοφωτάτου καὶ λογιωτάτου Θεοφίλου τοῦ Κορυδαλέως: Ἔκθεσιν κατ' ἐπιτομὴν τῆς λογικῆς πραγματείας.

1140.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,16, κατ' ἀρχομένην ἴσως τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 160. Ἐπιγέγραπται: «Ἐπιτομὴ τῆς Λογικῆς τοῦ Εὐγενίου φιλοπονηθεῖσα ὑπὸ τοῦ εὐγενεστάτου ἄρχοντος πρώην μεγάλου Μπάνου κυρίου Γρηγορίου Βασαράμπα Βιραγκαβάνου»· μεθ' ἣν ἕπονται: Λάμπρου Φωτιάδου τοῦ ἐξ Ἰωαννίνων: Ἀποσημειώματ' ἄττα ἐν τῇ τοῦ Εὐγενίου Λογικῇ.

1141.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,17, κατὰ τὸ ᾳψπ' ἔτος γεγραμμένον, ὡς ἐν τῇ ἀρχῇ σημειοῦται, ἐκ φύλλων δὲ συγκείμενον 251· Ἐπιγέγραπται: «Ἀμφότερα Λογικὴ ἐλάσσων καὶ μείζων περιπατητικὴ καὶ νεωτερικὴ παρὰ τοῦ λογιωτάτου καὶ σοφωτάτου κυρίου Βικεντίου τοῦ Δαμῳδοῦ ἐν φιλοσοφίᾳ καὶ ἱερᾷ θεολογίᾳ ἀμφοτέροις τοῖς νόμοις δαφνηφόρου».

1142.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,17, περὶ ἀρχομένην ἴσως τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 138. Ἔστιν ἀντίγραφον τοῦ προηγουμένου τεύχους.

1143.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,17, περὶ ἀρχομένην τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 158. Περιέχονται ἐν αὐτῷ α') Βικεντίου τοῦ Δαμῳδοῦ: Ἐπιτομὴ Λογικῆς. — β') Σύνοψις τῆς ἠθικῆς φιλοσοφίας εἰς ἁπλῆν φράσιν ἐξηγοῦσα ἐπιμελῶς τὰ ἀναγκαῖα τῆς ἐπιστήμης ἐκείνης, παρὰ Βικεντίου τοῦ σοφωτάτου καὶ ἐκλαμπροτάτου ἐν φιλοσοφίᾳ καὶ ἱερᾷ θεολογίᾳ τοῦ Δαμῳδοῦ, ἐκ πατρίδος Κεφαλληνίας. Εἰς αὐτὴν ἐπροστέθη καὶ ἡ Σύνοψις τῆς ἠθικῆς τοῦ Ἀριστοτέλους εἰς τὸ τέλος. ᾳψλϛ' κατὰ μῆνα Δεκέμβριον. (Τὸ ἔτος τοῦτο ὑπῆρχεν, ὡς φαίνεται, σεσημασμένον ἐν τῷ ἐξ οὗ ἀντεγράφη παλαιοτέρῳ ἀντιγράφῳ). — γ') «Λόγος γενόμενος περὶ τοῦ καθαρτηρίου πυρὸς πρός τινα ἄρχοντα Κεφαλληνιώτην, ποιηθεὶς μετ' ἐπιμελείας ὑπὸ τοῦ σοφωτάτου Ἀνθίμου κυροῦ Βαλιάνου Κεφαλληνιώτου εἰς τὸ ἀφελεῖν παρ' αὐ-

τοῦ τὰ βέλη, δι' ὧν περ ὁ προῤῥηθεὶς τρωθεὶς ἐπλήγη ὑπὸ τῶν ἑτεροδοξούντων καὶ κακῶς φρονούντων φρατόρων».

1144.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,15, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 286, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Ἐπιγέγραπται: «Τοῦ σοφωτάτου Κορυδαλέως Προλεγόμενα ἐν τῷ Περὶ ψυχῆς βιβλίῳ Α'».

1145.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,31, πλάτ. 0,22, κατὰ τὸ 1683 ἔτος γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 358, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει. Ἐπιγέγραπται: «Τοῦ σοφωτάτου κυρίου Θεοφίλου τοῦ Κορυδαλέως εἰς τὴν φιλοσοφίαν Προδιοίκησις».

1146.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,17, περὶ ἀρχομένην τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 300. Περιέχει τοῦ αὐτοῦ Κορυδαλέως: Ἔκθεσιν συνοπτικὴν τῆς ὅλης συλλογιστικῆς πραγματείας.

1147.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,22, πλάτ. 0,17, κατὰ τὸ 1730 ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ συγκείμενον 450. Περιέχει καὶ τοῦτο τοῦ αὐτοῦ Κορυδαλέως: Εἰς φιλοσοφίαν Προδιοίκησιν.

1148.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,15, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 158. Ἐπιγέγραπται: Τοῦ σοφωτάτου κυρίου Θεοφίλου τοῦ Κορυδαλέως τοῦ ὕστερον διὰ τοῦ θείου καὶ ἱεροῦ σχήματος Θεοδοσίου μετονομασθέντος Ἔκθεσις περὶ ἐπιστολικῶν τύπων. Ἐπὶ πλέον δὲ περιέχονται καὶ τὰ ἑξῆς: Τοῦ αὐτοῦ Ῥητορική.—Μῦθοι Ἀφθονίου σοφιστοῦ ἐκ τῶν προγυμνασμάτων.—Περὶ τοῦ τρόπου τοῦ ἐκγυμνάζειν συνοπτικῶς.—[Κορυδαλλέως;] Εἰς ἅπασαν τὴν Λογικὴν τοῦ Ἀριστοτέλους μέθοδον Προδιοίκησις εἴτε Εἰσαγωγή.

1149.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,18, πλάτ. 0,12, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 47. Περιέχει καὶ τοῦτο τοῦ αὐτοῦ Κορυδαλέως: τοὺς Ἐπιστολικοὺς τύπους. Ἐν τέλει δ' αὐτοῦ εὕρηται ἡ σημείωσις ἥδε: «Τὸ παρὸν Ἐπιστολάριον διορθώθη παρ' ἐμοῦ Θεοδώρου τοῦ ἐκ Βλαχίας ἐν τῇ κατὰ Πάτμον σχολῇ σπουδάζοντος, τὸ δὲ κατὰ δύναμιν δεξάσθων εὐγνωμόνως οἱ ἐντυγχάνοντες, προστιθέναι κἀκεῖνοι τὸ σφίσιν εὑρεθὲν μὴ ἀπαξιοῦντες, μεμνημένοι τε τοῦ ποιήσαντος».

1150.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,16, κατὰ τὸ 1745 ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ συγκείμενον 369, ὧν τὰ ἐν μέσῳ ἐνενήκοντα καὶ πέντε εἰσὶν ἄγραφα. Ἔστι δὲ καὶ τοῦτο τοῦ αὐτοῦ Κορυδαλέως: Εἰς ἅπασαν τὴν Λογικὴν Πραγματείαν.

1151.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 200. Καὶ τοῦτο περιέχει τὴν αὐτὴν τῷ ἀνωτέρω Πραγματείαν.

1152.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,17, ἐν Βουκουρεστίῳ κατὰ τὸ 1767 ἔτος γεγραμμένον, ὡς ἐν τῇ ἀρχῇ σημειοῦται, ἐκ φύλλων δὲ συγκείμενον 186. Περιέχει τοῦ αὐτοῦ Κορυδαλέως: τὴν Περὶ ψυχῆς πραγματείαν. Ἐν τέλει δὲ αὐτῆς φέρεται ἡ σημείωσις ἥδε: «Γέγραπται μὲν ἡ περὶ ψυχῆς πραγματεία ἐν ἔτει σωτηρίῳ ᾳψξζ' κατὰ τὴν κε' τοῦ Μαΐου διὰ χειρὸς ἐμοῦ Νεοφύτου ἱερομονάχου Καλούτζη ἐκκλησιάρχου τῆς ἐπισκοπῆς Κυθήρων, καὶ ἐν Βουκουρεστίῳ».

1153.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,17, γεγραμμένον καὶ τοῦτο ὑπὸ τοῦ ἀνωτέρω σημειωθέντος Καλούτζη κατὰ τὸ 1766 ἔτος, ὡς ἐν τῇ ἀρχῇ σημειοῦται, ἐκ φύλλων δὲ συγκείμενον 163. Περιέχει τοῦ αὐτοῦ Κορυδαλέως: Ὑπομνήματα συνοπτικὰ καὶ Ζητήματα εἰς τὴν Περὶ οὐρανοῦ πραγματείαν.

1154.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, κατὰ τὸ 1767 ἔτος γεγραμμένον, ὡς ἐν τῇ ἀρχῇ σημειοῦται, ἐκ φύλλων δὲ συγκείμενον 98. Ἐπιγέγραπται: «Τοῦ σοφωτάτου διδασκάλου τῆς ἐν Κωνσταντινουπόλει Ἀκαδημίας τοῦ ἐκ Μιτυλήνης Δωροθέου: Εἰς ἅπασαν τὴν Κορυδαλέως φυσικὴν πραγματείαν». Εἶθ' οὕτως ἕπονται: Τεχνολογία τῆς μικρᾶς Λογικῆς τοῦ λογιωτάτου Σουγδουρῆ κατ' ἐρωταπόκρισιν καί: Θεωρίαι καὶ παρατηρήσεις γραμματικαὶ περὶ μορίων.

1155.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,23, πλάτ. 0,19, γεγραμμένον ἐν Βιέννῃ κατὰ τὸ 1793 ἔτος, ὡς ἐν τῷ προμετωπιδίῳ φύλλῳ σημειοῦται, ἐκ φύλλων δὲ 251 συγκείμενον. Ἐπιγέγραπται: «Ἀθανασίου Ψαλλίδα Λογικὴ, κατὰ νεωτέρους μὲν συντεθεῖσα. μεθόδῳ δὲ μαθηματικῇ ἐξυφανθεῖσα χάριν τῶν φιλομούσων Ἑλλήνων». Ἔχει δὲ ἐπὶ τῆς πινακίδος καὶ τὸ ἑξῆς ἡρωελεγεῖον ἐπίγραμμα:

Ἑλλὰς τλασίπον' εὐφραίνου ὁράουσα γόνους σοὺς
Δέλτους ποιεῦντας, ἃς ζυγὸς ὤλεσ' ἀδρός.

Ἔσωθεν δὲ τοῦ προμετωπιδίου φύλλου τὰ ἑξῆς:

Γρηγορίου ἱεροδιακόνου Παλιορίτου ἐπιγράμματα εἰς τὴν Λογικήν.
ὡς ἐκ τῆς βίβλου.

Τίπτ' ἔκθαμβος ἔει φράσιν θ' ὁράων μου ξεῖνε;
Τί γάρ; Εὐγενίου εἶμασιν, οὐκ ἐμέγε
Γεννήτωρ εἴλυξέ μευ, ἠὲ Ἀριστοτέλοιο.
Κεῖνοι πρὸς δόξαν, πρὸς δὲ τὸ κοινὸν ἐμός.

Ἕτερον.

Τίς τεός ἥρα τοκεὺς δέλτος ἐρατή; Ψαλίδας.
Τοῦ γόνος; Ἑλλήνων. Ποῖ τέκε; Γερμανίᾳ.
Τοῦ χάριν οὕτω; Φοιτητῶν καὶ σαφηνίας· ἡμῖν
Στρεπτέος σός ῥὰ πατήρ, μόχθοιο οἷο χάριν.

1156.

Τεῦχος ἐκ χάρτου ῥωσσικοῦ μήκ. 0,21, πλάτ. 0,15, κατὰ τὸ 1837 ἔτος ἐν Θήρᾳ γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 75. Ἐπιγέγραπται: «Ἀθανασίου Ψαλίδα φιλοσοφία».

1157.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,17, γεγραμμένον ἐν Βιέννῃ κατὰ τὸ 1794 ἔτος, ἐκ φύλλων δὲ συγκείμενον 139. Ἐπιγέγραπται: «Τῆς Μεταφυσικῆς μέρος Γ', Πνευματολογία, ὑπὸ Ἀθανασίου Πέτρου Ψαλίδα τοῦ ἐξ Ἰωαννίνων».

1158.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,18, περὶ τελευτῶσαν τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 141. Ἐπιγέγραπται: «Εἰςαγωγὴ εἰς τὴν φιλοσοφίαν, Βιβλίον Α' περιέχον τὴν Μεταφυσικὴν, ἐκ τῆς λατινίδος φωνῆς μεταφρασθεῖσα παρὰ τοῦ πανιερωτάτου Εὐγενίου τοῦ Βουλγάρεως ἀρχιεπισκόπου πρώην Ἀικατερινοσλαβίας». Ἔστι δὲ τὸ τεῦχος αὐτόγραφον τοῦ ἐπιφανοῦς ἀνδρός.

1159.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,23, πλάτ. 0,16, ἐκ φύλλων συγκείμενον 235, οὗ ἐν τέλει φέρεται ἡ σημείωσις ἥδε: Τέλος τῆς Λογικῆς Πραγματείας Ἰωάννου Βαπτιστοῦ Ντουάμελ, μεταγλωττισθείσης παρὰ τοῦ σοφωτάτου καὶ λογιωτάτου κυρίου διδασκάλου Εὐγενίου Βουλγάρεως. Ἐγράφη παρὰ χειρὸς ἐμοῦ Θεοκλήτου μοναχοῦ ᾳψμη' Δεκεμβρίου ε'.

1160.

Τεῦχος ἐκ χάρτου ῥωσσικοῦ μήκ. 0,22, πλάτ. 0,17, περὶ τελευτῶσαν τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 138. Ἐν τούτῳ περιέχονται Εὐγενίου τοῦ Βουλγάρεως τὰ ποιήματια τάδε: α') Σχεδίασμα περὶ μουσικῆς (1).—β') Ἐπιστολὴ τῷ ἀρχιεπισκόπῳ Νικηφόρῳ Περὶ τοῦ ἐν τῷ τριςαγίῳ ὕμνῳ προεκφωνήματος πολλάκις: «Δύναμις» (2).—γ') Κύκλος ποιητικῶν ἀθυρματίων (εἰσὶν ἐν τῷ Κύκλῳ τούτῳ ἐπιγράμματα 181, ὧν τινα λατινιστί).—δ') Ἀναφορὰ αὐτοῦ πρὸς τὴν αὐτοκράτειραν Ἀικατερίναν (3), δι' ἧς ἐπιβάλλει αὐτῇ τὴν ἑλληνικὴν μετάφρασιν τῆς Εἰςηγήσεως περὶ τῆς ὀρθῆς ἀγωγῆς τῶν γαληνοτάτων πριγκήπων Ἀλεξάνδρου καὶ Κωνσταντίνου τῶν Παυλιδῶν·—καὶ ε') Δήλωσις περὶ Πέτρου τοῦ Κλερκίου τοῦ ὑποδιακόνου τῆς Ῥαθομαγνησίας ἐκκλησίας τοῦ νεωστὶ ζητή-

(1) Ὅρα περὶ τούτου Παρνασ. τόμ. ΙΒ', σελ. 453.
(2) Ἐξέδωκεν αὐτὴν ὁ πατὴρ ἡμῶν ἐν τῷ αὐτῷ τόμ. σελ. 456—60.
(3) Καὶ ταύτην ἐξέδωκεν αὐτόθι σελ. 509—13.

σαντος τὴν μετὴ τῆς ὀρθοδόξου ἡμῶν Ἀνατολικῆς ἐκκλησίας κοινωνίαν καὶ ἕνωσιν (4). Πάντα δὲ ταῦτα τὰ πονημάτια, πλὴν τοῦ πρώτου, εἰσὶ τοῦ περικλεεστάτου ἀνδρὸς αὐτόγραφα.

1161.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,17, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 312. Ἐπιγέγραπται: «Στοιχεῖα τῆς μεταφυσικῆς ἐν τέσσαρσι βιβλίοις ἐπιτετμημένως καὶ εὐμεθόδως ἐκτιθέμενα». Ἔστι δὲ καὶ τοῦτο τοῦ ἀοιδίμου Εὐγενίου.

1162.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,18, πλάτ. 0,12, γεγραμμένον ἐν Βουκουρεστίῳ κατὰ τὸ 1798 ἔτος, ἐκ φύλλων δὲ 189 συγκείμενον. Ἐπιγέγραπται: «Ἀντωνίου Γενουηνσίου Στοιχεῖα Μεταφυσικῆς».

1163.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,20, πλάτ. 0,15, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 292. Ἐπιγέγραπται: «Νικολάου Κούρσουλα τοῦ Ζακυνθίου Ὑπόμνημα καὶ Ζητήματα εἰς τὸ Ἀριστοτέλους Περὶ οὐρανοῦ Α' καὶ Β' βιβλίον». Τούτῳ προσήρτηται καί: Ἐπιτομὴ εἰς τὴν Ἀριστοτέλους Διαλεκτικὴν πραγματείαν τοῦ αὐτοῦ. Δωρεὰ τοῦ μακαρίτου Π. Λάμ. πρου.

1164.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,20, πλάτ. 0,15, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 278. Ἐπιγέγραπται: «Ὑπόμνημα καὶ Ζητήματα εἰς τὸ Δ' τῆς τοῦ Ἀριστοτέλους Φυσικῆς ἀκροάσεως». Ἔστι δὲ καὶ τοῦτο, ὡς ἔοικε, τοῦ αὐτοῦ Κούρσουλα.

1165.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,17, κατ' ἀρχομένην τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 94 συγκείμενον. Τὸ περιεχόμενον αὐτοῦ ἀνεπίγραφον ὂν πραγματεύεται περὶ διαλεκτικῆς.

1166.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,30, πλάτ. 0,21, κατὰ τὸ 1786 ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῇ ἀρχῇ, ἐκ φύλλων δὲ συγκείμενον 117. Ἐπιγέγραπται: «Ἡ Θεολογία φιλοπονηθεῖσα ὑπὸ τοῦ σοφωτάτου κυρίου κυρίου Εὐγενίου τοῦ πρώην μὲν κατὰ τὴν Ἀθωνιάδα Ἀκαδημίαν σχολαρχήσαντος, ἔπειτα δὲ ἐπὶ τῆς ἐν Κωνσταντινουπόλει πατριαρχικῆς σχολῆς διδασκάλου τῶν ἐπιστημῶν καταστάντος καὶ ῥεφερενδαρίου τῆς Μ. Ἐκκλησίας προχειρισθέντος, τέως δὲ ἐπὶ τὴν ἀρτίως συστᾶσαν ἀρχιεπισκοπὴν Σλοβησίου καὶ Χερσῶνος πρώτου ἀρχιεπισκόπου προβιβασθέντος καὶ τοῖς ἐν τῇ κατὰ Πετρούπολιν αὐτοκρατορικῇ Ἀκαδημίᾳ τῶν ἐπιστημῶν τεταγμένης ἐναριθμηθῆναι καταξιωθέντος».

---

(4) Ἴδε καὶ ταύτην αὐτόθι σελ. 513—21.

Ἐν τέλει δ' αὐτοῦ φέρεται: Ἐπιστολὴ τοῦ αὐτοῦ σοφωτάτου κυροῦ Εὐγενίου πεμφθεῖσα εἰς Βιέννην πρός τινα, γεγραμμένη δὲ ἐκ Πετρουπόλεως μηνὸς Αὐγούστου 16 τῷ 1790 ἔτει.

1167.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,29, πλάτ. 0,21, ὑπὸ δύο διαφόρων χειρῶν γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 244. Ἐπιγέγραπται: «Μεταφυσικὴ Γεννουενσείου ἐκλεκτικοῦ ἀπὸ τῆς Λατινίδος παρὰ Εὐγενίου (τοῦ Βουλγάρεως), ἧς ἐν τέλει φέρεται ἡ ἑξῆς σημείωσις: «Εἴληφε τέλος διὰ χειρὸς ἐμοῦ Νεοφύτου Δούκα ἱερομονάχου ἐν Βουκουρεστίῳ κατὰ τὸ 1792 ἔτος τὸ σωτήριον Αὐγούστου 10». Εἶθ' οὕτω τέτακται: Φυσικὴ Ἰωάννου Φριδερίκου Βουκερέρ. Εἰσηγήσεων τῆς φυσιολογίας τὸ κατὰ γένος μέρος.

1168.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,15, κατ' ἀρχομένην τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 180. Ἔστι δὲ καὶ τοῦτο: Φυσικὴ τοῦ ἀνωτέρω εἰρημένου Ἰωάννου Φριδερίκου Βουκερέρ.

1169.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,25, πλάτ. 0,17, ἐν Βουκουρεστίῳ τῆς Βλαχίας κατὰ τὸ 1766 ἔτος γεγραμμένον, ἐν τῇ αὐθεντικῇ σχολῇ, διὰ χειρὸς τοῦ καὶ ἐν τοῖς προηγουμένοις μνημονευθέντος Νεοφύτου τοῦ Καλούτζη, ἐκ φύλλων δὲ συγκείμενον 337. Ἔστι δὲ Θεοφίλου τοῦ Κορυδαλέως: Εἰς φιλοσοφίαν Προδιοίκησις.

1170.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,15, ἐν Κρήτῃ κατὰ τὸ ᾳχμ' ἔτος γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 372. Ἐπιγέγραπται: «Εἰς ἅπασαν τὴν φυσικὴν πραγματείαν προοιμιακὰ Ζητήματα παρὰ Γερασίμου ἱερομονάχου Βλάχου τοῦ Κρητὸς ἐκτεθέντα».

1171.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, ἰδιοχείρως παρὰ τοῦ ἀοιδίμου Εὐγενίου τοῦ Βουλγάρεως γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 32 καὶ ἐπιγεγραμμένον: Τῷ θεοφιλεστάτῳ, σεβασμιωτάτῳ καὶ ἐλλογιμωτάτῳ ἐπισκόπῳ Καμπανίας κυρίῳ μοι κυρίῳ Θεοφίλῳ τίνα τὰ πάλαι καὶ νῦν περὶ τῶν παλλιῤῥοιῶν φιλοσοφηθέντα ζητήσαντι, ὁ εὐπειθὴς καὶ ὑπήκοος υἱὸς ἐν Χριστῷ καὶ δοῦλος Ἐ. ἱερ. Β. Ἐν ὑποσημειώσει δὲ φέρονται ταῦτα: Τουτὶ τὸ σχεδίασμα ἐπέμφθη μὲν τῷ ζητήσαντι ἐπισκόπῳ Καμπανίας, αἰτηθὲν δ' ἔπειτα παρὰ τοῦ παναγιωτάτου κυρίου Θεσσαλονίκης ἐστάλη τῇ αὐτοῦ παναγιότητι, ὑφ' ἧς αἰτήσαντί μοι ἐδωρήθη τῷ γνησίῳ μαθητῇ τὸ τοῦ οἰκείου διδασκάλου σοφὸν καὶ τερπνὸν ἰδιόχειρον. Ἐν τέλει δὲ προσήρτηται καὶ ἡ πρὸς τὸν οἰκουμενικὸν πατριάρχην Κύριλλον Ἀπολογία τοῦ αὐτοῦ Εὐγενίου περὶ τῆς ἀναχωρήσεως αὐτοῦ ἀπὸ τῆς κατ' αὐτοῦ στασιασάσης Ἀθωνιάδος σχολῆς, δι' ἄλλης γεγραμμένη χειρός. Μία δὲ καὶ ἡμίσεια σελὶς τοῦ τελευταίου φύλλου ὑπάρχει ῥουμουνιστὶ γεγραμμένη.

1172.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, κατὰ τὴν ΙΖ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 227. Ἐν τούτῳ περιέχονται ποικίλα τινά, ὧν προηγοῦνται Ἀφθονίου σοφιστοῦ: Τὰ Προγυμνάσματα· μεθ' ἃ ἕπονται: Ἐπιστολικοὶ τύποι ἐν γλώσσῃ κοινῇ.— Γυμνάσματα ῥητορικά.—Μακαρίου τοῦ Ἀιγυπτίου ἐκ τοῦ κατὰ Λατίνων, ἤτοι τὰ Παραλειπόμενα ἐν τῷ Τόμῳ τῆς Καταλλαγῆς τοῦ Ἱεροσολύμων Δοσιθέου.—Ἀποσπάσματα ἀπὸ τῶν Βυζαντινῶν ἱστοριογράφων Κεδρηνοῦ, Μανασσῆ καὶ Γλυκᾶ, ὡς καὶ ἀπὸ τοῦ Κωδινοῦ.— Ἀπανθίσματα ἀπὸ τῶν Ἀριστοτέλους: Ἠθικῶν Νικομαχείων.—Ἐκ τῶν Ζητημάτων καὶ Ἀπορίων καὶ Λύσεων τῶν εἰς τὰς Ἀριστοτέλους βίβλους Περὶ ψυχῆς.—Νικολάου Κεραμέως: Ὅτι ἡ ψυχὴ οὐκ ἔστι κρᾶσις ὡς ὑπέθετο Γαληνός.—Περὶ ἐπωνυμίας πόλεων καὶ τόπων. Μικρὸν δὲ πρὸ τοῦ τέλους τοῦ τεύχους φέρονται οἱ ἑξῆς στίχοι:

Γεωργίου ἰατροῦ Χρυσοκόκκου.
Πονῶν, μογῶν ἄμετρα ταύτην τὴν βίβλον
Τέλει δέδωκα, τοῦ θεοῦ νενευκότος.
Γεννῶσι δόξαν τοῖς φιλοσοφοῦσιν οἱ πόνοι·
Τοῖς δ' αὖ ἀέργοις μῶμον ἡ ῥαθυμία.

1173.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,17, κατὰ τὴν ΙΖ' ἑκατονταετηρίδα ὑπὸ διαφόρων χειρῶν γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 318. Καὶ ἐν τούτῳ περιέχονται ἀνωνύμως: Περὶ λογικῆς.—Περὶ φιλοσοφίας.—Ψυχαγωγίαι εἰς τὴν περὶ γενέσεως καὶ φθορᾶς παράφρασιν Ἀλεξάνδρου τοῦ ἐξ Ἀπορρήτων.—Εἰς τὸ Περὶ ἑρμηνείας τοῦ Ἀριστοτέλους Συνοπτικαὶ ὑπομνήσεις.—Περὶ φυσικῆς ἀκροάσεως.—Θέματα ἁπλᾶ καὶ ἑλληνικά.—Ἡσιόδου: Ἔργα καὶ ἡμέραι ψυχαγωγικῶς ἡρμηνευμένα.—Λουκιανοῦ ἀποσπάσματα, καὶ ἄλλα τινὰ μικροῦ λόγου ἄξια.

1174.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,16, περὶ τὰ τέλη τῆς ΙΗ' ἑκατονταετηρίδος γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 124. Περιέχει: Νικηφόρου τοῦ Βλεμμίδου Ἐπιτομὴν λογικῆς.

1175.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,15, περὶ τελευτῶσαν τὴν ΙϹ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 166. Περιέχει Ἀνωνύμου: Ὑπόμνημα εἰς τὸ Δ' καὶ Ε' τῶν Περὶ φυσικῆς ἀκροάσεως βιβλίων.

1176.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,17, ἐν Κερκύρᾳ κατὰ τὸ 1811 φιλοκάλως γεγραμμένον, ὡς ἐν τῇ ἀρχῇ σημειοῦται, ἐκ φύλλων δὲ συγκείμενον 82. Ἐν τῇ ἀρχῇ αὐτοῦ φέρονται ταῦτα: «Εἴδησις. Ἀναγινώσκοντας ἢ μᾶλλον εἰπεῖν, σπουδάζοντας τὸ θέαμα τῆς φύσεως εἰς Τυῤῥηνὴν διάλεκτον μετάφρασιν ἐκ τῆς γαλλικῆς, καὶ φθάνοντας εἰς τὸν ἔνατον νόμον, ὁ ὁποῖος περιγράφει τὸν ἄνθρωπον θεωρημένον εἰς τὸν ἑαυτόν του, ἐστοχάσθηκα νὰ κάμω

τὴν μετάφρασιν εἰς τὴν ἡμετέραν ἁπλῆν ῥωμαϊκὴν διάλεκτον πρὸς ὠφέλειαν τῶν μαθητῶν μου κτλ. Ὁ ταπεινὸς ἐν ἱερεῦσι Παναγῆς Φωκᾶς ὁ ἐκ Κεφαληνίας».

1177.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,14, κατὰ τὸ 1852 ἔτος ὑπὸ Ἀποστόλου Ἀ. Πετρῆ Κείου γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 87. Περιέχεται ἐν αὐτῷ ἀνωνύμως: Λογικὴ, ἀρχομένη οὕτω: § 1. Λογικὴ εἶναι ἐπιστήμη ἐξετάζουσα τοὺς νόμους καὶ κανόνας τῆς νοήσεως, διότι ἡ δύναμις τῆς νοήσεως, ὡς πᾶσα ἄλλη δύναμις, ὄχι μόνον τῆς ψυχῆς ἀλλὰ καὶ πάντων τῶν ἐν τῷ ἐξωτερικῷ κόσμῳ πραγμάτων, ἀκολουθοῦσι νόμον εἰς τὰς ἐνεργείας των κτλ.

1178.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,20, πλάτ. 0,15, ἐκ φύλλων συγκείμενον 64. Ἐπιγέγραπται: «Εἰς ἅπασαν τὴν Λογικὴν τοῦ Ἀριστοτέλους μέθοδον Προδιοίκησις ἤτοι Εἰσαγωγὴ συντεθεῖσα παρὰ Γεωργίου ἱερέως τοῦ Σουγδουρῆ τοῦ ἐξ Ἰωαννίνων». Καὶ ἐν μὲν τῷ δευτέρῳ φύλλῳ φέρεται ἡ σημείωσις ἥδε: «1731 ἀψλα' Αὐγούστου ἐσχάτῃ ἔ. π. ἠρξάμεθα λογικεύεσθαι, διδασκάλῳ κεχρημένοι κυρίῳ Ἰωάννῃ τῷ Καββαδίᾳ ἱεροδιδασκάλῳ»· ἐν δὲ τῷ τέλει: «Γέγραπται ἡ λογικὴ αὕτη μέθοδος πόνῳ τε καὶ μόχθῳ καὶ δρῶτι ἁπλέτῳ προσώπου, ἐσπούδακται παρ' ἐμοῦ Ἐλευθερίου τοῦ Βούλγαρι».

1179.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,17, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 94. Περιέχει: Θέματα κοινὰ καὶ ἑλληνικὰ καί τινα ἄλλα μικροῦ λόγου ἄξια.

1180.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,23, πλάτ. 0,15, περὶ τελευτῶσαν τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 209 συγκείμενον, ἀλλ' ἐλλιπὲς ἐν τῷ τέλει, ἐξ οὗ ἀπεσχίσθησαν φύλλα ἐννέα. Περιέχονται ἐν αὐτῷ: α') Ἑρμοῦ τοῦ Τριςμεγίστου: Πρὸς τὸν Ἀσκληπιὸν Λόγος καθολικός. — β') Εἰς Ἰλιάδος Α Παράφρασις διὰ συνωνύμων. — γ') Θέματα κοινὰ καί ἑλληνικά, — καὶ δ') Συναγωγὴ λέξεων καὶ φράσεων ἀπὸ τῶν ἀρχαίων συνηρανισμένη συγγραφέων.

1181.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,25, πλάτ. 0,19, ἐν Βιέννῃ κατὰ τὸ 1794 ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ συγκείμενον 112. Περιέχει: Πλουτάρχου Χαιρωνέως Λόγους τρεῖς, ἤτοι τὸν Περὶ εὐθυμίας, τὸν Περὶ δυςωπίας, (τούτοις παρέπεται καὶ παράφρασις αὐτῶν ἐν τῇ κοινῇ γλώσσῃ) καὶ τὸν Περὶ τοῦ ἀκούειν παραπεφρασμένον καὶ τοῦτον.

1182.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,15, πλάτ. 0,11, ἐκ φύλλων συγκείμενον 269. Ἐπιγέγραπται: «Σύνοψις φυσιολογικὴ περιέχουσα ὡς ἐν ἐπιτομῇ εἶδει πάντα ὅσα ἁρμόζει πρὸς τὴν φυσικὴν φιλοσοφίαν, δηλαδὴ τὰ ἀκροαματικὰ, τὰ περὶ κόσμου, περὶ οὐρανοῦ,

περὶ στοιχείων, περὶ μετεώρων, περὶ μινέρων καὶ μετάλλων καὶ περὶ ψυχῆς· ἐν δὲ τῷ τέλει προσετέθησαν καὶ τινὰ περὶ ζῴων καὶ φυτῶν· ὀλίγα καὶ περὶ γεωγραφίας ἐκ διαφόρων βιβλίων συλλεχθέντα λατινικῶν τε καὶ ἑλληνικῶν. Ἐν Συμπηνίῳ, ἔτει 1709 μηνὶ Μαΐῳ 9. Συνεγράψατο ὁ ἐλάχιστος Ἰωάννης Ἀδάμη ὁ ἐξ Ἄρβαν», καὶ ἔστιν ἐπιμελῶς καὶ καλῶς γεγραμμένον. Εὕρηται δὲ περὶ τὸ τέλος αὐτοῦ καί: Τετραλογία διαλαμβάνουσα ὡς ἐπὶ τὸ πολὺ περὶ διαφόρων τεράτων καὶ παρασήμων μορφῶν ἀνθρωπίνων ὅπου ἀναφέρουσι πολλάκις οἵτε παλαιοὶ καὶ οἱ νεώτεροι ἱστοριογράφοι. Ἐν δὲ τοῖς τελευταίοις δυσὶ φύλλοις εὕρηνται 58 στίχοι λατινικοὶ ἀποτεινόμενοι: Ad Lectores amicos.

1183.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,17, πλάτ. 0,22, περὶ τελευτῶσαν τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 190. Περιέχει: α') Ἐκλογὴν Ἐπιγραμμάτων ἀπὸ τῆς Ἀνθολογίας, καὶ ἄλλα τινα.—β') Τοῦ σοφωτάτου Ψελλοῦ: Ἰάμβους εἰς ἀρετὰς καὶ κακίας.— γ') Θεοδώρου τοῦ Προδρόμου: Ἐπὶ ἀποδήμῳ τῇ φιλίᾳ.—δ') Γνώμας ἀπὸ ποιητῶν τε καὶ συγγραφέων.—ε') Περικοπὴν ἐκ τῆς τοῦ Μανασσῆ: Χρονικῆς Συνόψεως.—ϛ') Αἰνίγματα κατὰ τὴν ἑλληνικὴν διάλεκτον διὰ στίχων σοφώτατα πάνυ καὶ ὡραιότατα,—καὶ ζ') Varie poesie spiritose e galanti di deversi autori Italiani e Franzesi.

1184.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,16, πλάτ. 0,11, ἐν Βουκουρεστίῳ κατὰ τὸ 1781 ἔτος γεγραμμένον, ἐκ φύλλων δὲ 65 συγκείμενον. Ἐπιγέγραπται: «Παραινέσεις ἄρχοντός τινος Ὑπάτου τῶν φιλοσόφων τῆς τοῦ Χριστοῦ Μ. Ἐκκλησίας καὶ μεγάλου παχαρνίκου Βλαχίας Μιχαὴλ Φωτεινοῦ τοῦ ἐκ Χίου, συντεθεῖσαι παρ' αὐτοῦ καὶ ἐκδοθεῖσαι πρὸς τὸν υἱὸν αὐτοῦ»· μεθ' ἃς ἕπεται: Ἐπιτάφιος εἰς τὸν Ῥιμνίκου Καισάριον, καί τινα ἄλλα ἥττονος λόγου ἄξια.

1185.

Τεῦχος ἐκ χάρτου κοινοῦ, μήκ. 0,24, πλάτ. 0,18, κατὰ τὴν ΙΖ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 217 συγκείμενον. Περιέχονται ἐν αὐτῷ πᾶσαι αἱ Ἐπιστολαὶ Συνεσίου τοῦ Πτολεμαΐδος εἰς κοινὴν μετενηνεγμέναι φράσιν, ὧν ἐν τέλει φέρεται ἡ σημείωσις ἥδε: «Καὶ τό δε σὺν τῆς ἁλὶς κιμοῦ τοῦ μέλετιου τοῦ κρητὸς ἐλάχηστου μαργούνιου».

1186.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,18, πλάτ. 0,12, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 48, ἱκανῶν ἐν τῷ τέλει ἐκρυέντων. Περιέχει Λόγγου: τὰ Ποιμενικά, ἤτοι τὰ κατὰ Δάφνιν καὶ Χλόην.

1187.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, κατὰ τὸ 1691 ἔτος ἐν Ἰωαννίνοις γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 151. Περιέχονται ἐν αὐτῷ: α') Περὶ ῥητορικῆς τέχνης σύντομος παράδοσις παρὰ Γερασίμου ἱερομονάχου Βλάχου τοῦ Κρητὸς τοῦ τῶν ἐπιστημῶν

ἐφηγητοῦ ἐκδοθεῖσα. — β') Εἰς ἅπασαν τὴν Λογικὴν τοῦ Ἀριστοτέλους μέθοδον Προδιοίκησις, ἤτοι Εἰσαγωγή, καὶ γ') Πρόκλου Σφαῖρα.

1188.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,15, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 132, ἀλλ' ἐλλιπὲς τοῦ τέλους. Περιέχει ἀνωνύμως: Τέχνην ῥητορικὴν ἐν γλώσσῃ κοινῇ.

1189.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,14, κατὰ τὸ 1790 ἔτος γεγραμμένον, ὡς ἐν τῇ ἀρχῇ σημειοῦται, ἐκ φύλλων δὲ 232 συγκείμενον. Πραγματεύεται καὶ τοῦτο ἀνωνύμως Περὶ τέχνης ῥητορικῆς ἐν γλώσσῃ κοινῇ.

1190.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,23, πλάτ. 0,17, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 173. Περιέχονται ἐν αὐτῷ: Σχόλια εἰς τὰ τοῦ Ἀφθονίου Προγυμνάσματα τῆς ῥητορικῆς, καὶ Ἑρμογένους: Τέχνη ῥητορική, περὶ τῶν στάσεων.

1191.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,15, κατὰ τὸ ᾳψπ' ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει, ἐκ φύλλων δὲ συγκείμενον 203. Περιέχει καὶ τοῦτο: Τέχνην ῥητορικὴν ἀνωνύμως ἐν γλώσσῃ κοινῇ.

1192.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, κατὰ τὸ 1702 ἔτος γεγραμμένον, ὡς σημειοῦται ἐν ἐπιστολῇ τοῦ συγγραφέως πρὸς τὸν Λαρίσσης μητροπολίτην Παρθένιον, ἐκ φύλλων δὲ συγκείμενον 131. Ἐπιγέγραπται: «Λευχειμονοῦσα Ῥητορική εἴτουν Ἀφθονίου Προγυμνάσματα ἐκ τῆς Λατίνων ἀνθολογηθέντα φωνῆς καὶ ἐν ἑλληνικῇ διαλέκτῳ ὑποστρωθέντα σπουδῇ καὶ πόνῳ Ἀναστασίου Παπαβασιλοπούλου τοῦ ἐξ Ἰωαννίνων, ἐν τῇ κωμοπόλει Τυρνάβῳ τῆς Θετταλίας διατρίβοντος χάριν τῶν ὑπ' αὐτοῦ διδασκομένων πρωτοπείρων μαθητῶν». Προτάσσονται δ' αὐτῆς τὰ ἑξῆς δύο Ἐπιγράμματα Ἰακώβου ἱεροδιακόνου τοῦ Κυπρίου μαθητοῦ τῆς ἐν Τυρνάβῳ σχολῆς.

Πυκτίδα ῥητορικῆς ὁ λατινιΐδων ὀχετεύσας
Ταύτην ἐκ λιβάδων ἔπλετ' Ἀναστάσιος,
Ἀμφοτέρης πάντως διαλέκτου δεξιὸς ἱδμων,
Πλήρης τῶν [ἰσ. τε] σοφίης καὶ χαρίτων τρόφιμος.

—

Τοῦ αὐτοῦ ἕτερον κατ' ἐρωταπόκρισιν.
Τίς σε ἁλουργοφορεῖν θέτο ῥητορικὴ δαθυόλβε,
Τὴν πάρος οὐ τοῖον ᾧαρος ἐασσαμένην;
Ἔξοχος ἐν λογίοις ἦν ἀνὴρ στόμα Καλλιόπης τε,
Ἔρνος Ἰωαννίνων θεῖος Ἀναστάσιος·
Παίδων Ἑλλήνων χάριν αὐτὰρ ἐῶν γε μαθητῶν
Πλεῖστα πονησάμενος τεῦχέ μ' ἁλουργοφορεῖν·
Οὗ τὸ πόλ' ἐν σοφίῃ ἄγαται κωμόπτολις ἄρτι
Τύρναβος, ὡςαύτως πᾶσά τε Θετταλίη.
Σφῶν ἐν γυμνασίῳ σελαγίζοντος νεοδμήτῳ
Μαρμαρυγοῖς ἀρετῶν πολυθημοσύνης.

Εἶθ' οὕτως ἕπεται ἐπιστολὴ προσφωνητικὴ τοῦ συγγραφέως: Τῷ πανιερωτάτῳ μητροπολίτῃ τῆς ἁγιωτάτης μητροπόλεως Λαρίσσης κυρίῳ κυρίῳ Παρθενίῳ ὑπερτίμῳ καὶ ἐξάρχῳ δευτέρας Θετταλίας καὶ πάσης Ἑλλάδος, γεγραμμένη τῷ ᾳψϐ' Φεϐρουαρίου ϛ', μεθ' ἣν αὖθις τὰ ἑξῆς δύο Ἐπιγράμματα:

Πρὸς τὸν αὐτὸν πανιερώτατον καὶ θεοπρόϐλητον
δεσπότην μητροπολίτην Λαρίσσης κύριον
Παρθένιον.

Νῦν θεὸς ὑψιμέδων μέγα ὤπασε χάρμα Λαρίσσῃ
Ποιμένα νηπτρεκέως τῶν λογικῶν προϐάτων,
Παρθένιον φιλόμουσον ἐν ἀρχιερῆσι φαεινὸν,
Ἥπιον, ἡδυεπῆ, εὐθύδικον, ζάθεον.
Ὄρ' ἤθη μεμαὼς μεταμεῖψαι τῶν ὑπὸ χεῖρα
Μούσας ἐγκαλέσαι καὶ σοφίης χάριτας
Μουσεῖον κατέπηξ' ἀνὰ Τύρναϐον ἀξιέπαινον
Κάλλα ἄπειρα τέως θέσκελα ἔργα τελεῖ,
Ὧ καὶ Ἀναστάσιος τόδε πυκτίον ἦρ' ἀνέθηκε,
Φωνῆς ἐξ Ἰταλῶν ἀνθολογησάμενος·
Σῆμα μέγ' εὐλαϐίης ἀνέρος ποτὶ ἀρχιερῆα
Ἔξοχα ὀνταξίλον μουσοφόρων ἀνέρων.

Τῆς αὐτοῦ πανιερότητος ἐλάχιστος δοῦλος
καὶ μαθητὴς τῆς ἐν Τυρνάϐῳ σχολῆς
Ἰάκωϐος ἱεροδιάκονος ὁ Κύπριος.

—

Λαμπροφορεῖν σοφίης πάρος ὡς χάριν' ἤρξατο Ἑλλὰς
Ἄρτι κομᾶν τε ῥόδοις ἱδμοσύνης τε ἴοις,
Τύρναϐος ἠδὲ Λάρισσα μέγ' ἀβρύνεται ἐπὶ τοῖς δε
Τοῖς ἀρετῆς ἔργοις Παρθενίου ϐαθύνου·
Ὅς καλάμῳ θεϊκῆς χειρὸς ἄξια προὐκεχάρακτο
Ἑλλάδα ἡνιοχεῖν· Θετταλίην δ' ὁσίως.

ὁ αὐτός.

1193.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,23, πλάτ. 0,17, ἐν Σμύρνῃ κατὰ τὸ 1786 ἔτος γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 113. Ἔστι καὶ τοῦτο: Ῥητορικὴ ἀνεπίγραφος.

1194.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,17, κατ' ἀρχομένην τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 123. Περιέχει καὶ τοῦτο τὴν αὐτὴν τῷ ἀνωτέρῳ Ῥητορικὴν τέχνην μεθ' ἱκανῶν Σχολίων γεγραμμένων περὶ τὴν ᾠδὴν τοῦ τεύχους.

1195.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, κατ' ἀρχομένην τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 159. Περιέχει καὶ τοῦτο: Τέχνην ῥητορικὴν ἀνωνύμως ἐν γλώσσῃ κοινῇ.

1196.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,19, κατὰ τὴν ΙΖ' ἴσως ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 84 συγκείμενον. Ἐπιγέγραπται: «Σκιαγραφία», ἤτοι περιέχει διδασκαλίαν περὶ συνθέσεως ἐκκλησιαστικῶν λόγων ἠθικῶν τε καὶ πανηγυρικῶν.

1197.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,16, κατὰ τὴν ΙϛΙ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 193, ἀλλ' ἐλλιπὴς τῆς ἀρχῆς καὶ τοῦ τέλους. Ἐν τοῖς προτέροις ἑπτακαίδεκα φύλλοις περιέχεται μέρος τῶν ἀσματικῶν Κανόνων τοῦ Κοσμᾶ καὶ Ἰωάννου εἰς τὰς δεσποτικὰς ἑορτὰς, ἡρμηνευμένων. Εἶθ' οὕτως ἕπεται: Γλωσσάριον, μεθ' ὃ: Ἐτυμολογία τῶν τοῦ ἀλφαβήτου στοιχείων· εἶτα: Στίχοι κατανυκτικοὶ κατ' ἀλφάβητον τοῦ κυροῦ Συμεὼν τοῦ Λογοθέτου καὶ Μαγίστρου, καὶ μετ' αὐτούς: ἕτερον Μέλος κατὰ στοιχεῖον τοῦ σοφωτάτου Κυριακοῦ τοῦ Μαγίστρου. Ἐν δέ τοῖς ἐκπεσοῦσι φύλλοις περιείχοντο: Χρησμοὶ θεολογίας τῶν πάλαι Ἑλλήνων σοφῶν περὶ τῆς ἐνσάρκου οἰκονομίας.

1198.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ, 0,17, κατὰ τὴν ΙΕ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 136. Περιέχει: Εὐκλείδου Εἰςαγωγὴν ἁρμονικήν.

1199.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,18, κατ' ἀρχομένην ἴσως τὴν ΙϛΙ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 144. Ἐπιγέγραπται: «Ζηνοβίου Ἐπιτομὴ τῶν Ταῤῥαίου καὶ Διδύμου Παροιμιῶν συντεθεῖσα κατὰ στοιχεῖον». Ἐν τῷ πρώτῳ φύλλῳ φέρεται ἡ σημείωσις ἥδε: Ταύτην ἀνέγνωσε Ναυλὼτ ὁ Κοιλαδεὺς ἔτει Χριστοῦ ᾳφογ'. Ὁ δ' αὐτὸς προσέθηκε καὶ ἑτέραν σημείωσιν ἐν τῷ τελευταίῳ φύλλῳ τὸ αὐτὸ δηλοῦσαν.

1200.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,15, ἐκ φύλλων συγκείμενον 93. Περιέχει: Θεοφυλάκτου Σιμοκάττου ἀπὸ ἐπάρχων Οἰκουμενικῆς ἱστορίας βιβλία Η'· ὧν ἐν τέλει φέρεται ἡ σημείωσις ἥδε: «Ἀρσένιος ἐλαίῳ Θεοῦ ἐπίσκοπος Σάμου καὶ Ἰκαρίας εὐεργετῶ τὴν δέλτον ταύτην τῷ εὐλαβεστάτῳ χωρεπισκόπῳ Νεραντζίας (1) καὶ σακελλαρίῳ κυρίῳ Γεωργίῳ ἔτει ,ϛϡκϛ' (+ 1414) Ἰνδικτ. ια'».

1201.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,19, πλάτ. 0,14, κατὰ τὴν ΙϛΙ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 118. Περιέχει: Συμεὼν Μαγίστρου τοῦ Σὴθ τὸν Στεφανίτην καὶ Ἰχνηλάτην, Ἀισώπου Βίον καὶ Μύθους τινάς.

1202.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,25, πλάτ. 0,18, περὶ μεσοῦσαν τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ 324 συγκείμενον. Περιέχονται ἐν αὐτῷ: α') Λόγοι ἐκκλησιαστικοί. — β') Ἐπιστολὴ ἀπολογητικὴ Εὐγενίου τοῦ Βουλγάρεως πρὸς τὸν οἰκουμενικὸν πατριάρχην Κύριλλον. — γ') Διδασκαλία χριστιανικὴ κατ' ἐρωταπόκρισιν. —

---

(1) Νεραντζία ἐκαλεῖτο ἐν τοῖς τότε χρόνοις ἡ πρωτεύουσα τῆς νήσου Κῶ. Καὶ μοι ὅρα τὰ περὶ αὐτῆς πλατύτερον σημειωθέντα τῷ πατρὶ ἡμῶν ἐν τῇ Πατμιακῇ Βιβλιοθήκῃ σελ. 45.

δ') Μάρκου τοῦ Εὐγενικοῦ μητροπολίτου Ἐφέσου: Εἰς τὸν βασιλέα Ἰωάννην Παλαιολόγον ἀπορήσαντα πρὸ τοῦ λατινισμοῦ. Ἐκ τῶν τῆς μονῆς τοῦ Βροντησίου. — ε') Ἀφθονίου: Προγυμνάσματα (φέρει τοιάνδε σημείωσιν: Βουκουρέστη 1766 Μαΐου 1 παρὰ τῷ σοφολογιωτάτῳ διδασκάλῳ Μανασσῆ). — ϛ') Ἑρμογένους: Στάσεις, ὧν ἐν τέλει ἀναγινώσκεται ἡ σημείωσις ἥδε: Ἀυγούστου κϛ' ἐν Κουμπουλουγγίῳ τῆς Βλαχίας γέγραπται· τετέλεσται δὲ ἡ τῆς παρούσης ῥητορικῆς παράδοσις τὸ ᾳψξϛ' κατὰ μῆνα Ὀκτώβριον τῇ η' ἐν Βουκουρεστίῳ τῆς Βλαχίας ἐν τῇ Ἀκαδημίᾳ τῆς αὐτῆς. Νεόφυτος ἱερομόναχος ἐκκλησιάρχης Καλούτζης». — ζ') Ἔκθεσις ῥητορικῶν τινων κανόνων ἱεροκήρυξι μάλιστα συμβαλλομένων, οὓς ἐκ τῆς λατινίδος εἰς τὴν Ἑλλάδα φωνὴν ἀπανθισάμενος προὔθηκε τοῖς φιλολόγοις. — η') Ἀλεξάνδρου τοῦ ἐξ Ἀποῤῥήτων: Σύνοψις τέχνης ῥητορικῆς κατὰ πεῦσιν καὶ ἀπόκρισιν, — καὶ θ') Ἐκ τῶν ἀποσημειωμάτων τῶν εἰς τὸ Δ' βιβλίον τῆς γραμματικῆς Θεοδώρου Γαζῆ φιλοπονηθέντων παρὰ κυρίου Γερασίμου τοῦ Βυζαντίου. (1)

1203.

Τεῦχος ἐκ διαφόρων τετραδίων χάρτου κοινοῦ ἀπαρτιζόμενον μήκ. 0,22, πλάτ. 0,16, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον καὶ ἐν συνόλῳ ἐξ 178 φύλλων συγκείμενον. Περιέχει: Λόγους τινὰς ἐκκλησιαστικοὺς καὶ Ὑποδείγματα περὶ συνθέσεως τοιούτων κατὰ τοὺς κανόνας τῆς ῥητορικῆς.

1204.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,35, πλάτ. 0,24, κατ' ἀρχομένην τὴν ΙΘ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 617. Ἐπιγέγραπται: «Στοιχεῖα τῆς Γενικῆς Ἱστορίας παλαιᾶς τε καὶ νεωτέρας, συντεθέντα μὲν γαλλιστὶ παρὰ ἀββᾶ Μιλλιώτου μεταφρασθέντα δὲ εἰς τὴν ἡμετέραν ὑπὸ ***» (ἀγνώστου τοῦ μεταφράσαντος). Κάτωθεν δὲ τῆς προκεφαλίδος ταύτης τοῦ βιβλίου φέρεται ἡ σημείωσις ἥδε: «Οἱ δύο πρῶτοι τόμοι τῶν Στοιχείων τῆς παρούσης μεταφράσεως τῆς Γενικῆς Ἱστορίας, μεταφρασθέντες εἰς τὴν ἡμετέραν διάλεκτον ὑπὸ Γρηγορίου ἱερομονάχου Κωνσταντᾶ τοῦ Μηλιώτου καί Ζήσου Κάβρα ἰατροῦ τοῦ ἐξ Ἀμπελακίων εἰς χρῆσιν τῶν ἑλληνικῶν σχολείων ἐξεδόθησαν ἐν Ἐνετίῃσιν παρὰ Πάρτῳ Θεοδοσίου ἔτει σωτηρίῳ 1806».

1205.

Τεῦχος ἐκ χάρτου τουρκικοῦ μήκ. 0,32, πλάτ. 0,23, κατὰ τὴν ΙΖ' τελευτῶσαν ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 433, ἀλλ' ἐλλιπὲς τῆς ἀρχῆς καὶ τοῦ τέλους. Περιέχει: Δωροθέου τοῦ Μονεμβασίας τὸν λεγόμενον Χρονογράφον, καταλήγοντα μέχρι τοῦ ᾳοα'· μεθ' ὃν ἕπεται: Βίος καὶ ποιήματα τοῦ Αἰσώπου

---

(1) Οὗτος διεδέξατο Μακάριον τὸν πάνυ ἐν τῷ τῆς Πάτμου ἑλληνικῷ Φροντιστηρίῳ. Ὅρα δὲ τὰ περὶ αὐτοῦ σημειωθέντα ὑπὸ τοῦ πατρὸς ἡμῶν ἐν Παρνασσῷ τόμ. ΙΓ', σελ. 559.

1206.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,24, πλάτ. 0,18, ἐκ φύλλων 159 συγκείμενον. Ἐπιγέγραπται: «Ἱστορία τοῦ ΙΒ' Καρόλου βασιλέως Σβεκίας, ἐκ τῆς γαλλικῆς εἰς τὴν ἡμετέραν ἁπλῆν διάλεκτον μεταφρασθεῖσα παρὰ.... ἐν ἔτει σωτηρίῳ ᾳψκε'».

1207.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,22, πλάτ. 0,14, κατὰ τὴν ΙΓ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 95, ἀλλ' ἐλλιπὲς τῆς ἀρχῆς καὶ τοῦ τέλους. Περιέχει: Κωνσταντίνου τοῦ Μανασσῆ τὴν Χρονικὴν Σύνοψιν ἀρχομένην ἐκ τοῦ στίχου 117 καὶ καταλήγουσαν εἰς στίχ. 6,621.

1208.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,25, πλάτ. 0,18, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 154. Περιέχει: Γεωργίου τοῦ μεγάλου Λογοθέτου τοῦ Φραντζῆ τὸ Χρονικόν. Ἐν τῷ 1ῳ καὶ 42ῳ φύλλω εὑρηνται δύο ἱστορικαὶ σημειώσεις γεγραμμέναι κατὰ τὸ 1820 περὶ τῶν προόδων καὶ τῶν κατακτήσεων, εἶτα δὲ καὶ τοῦ οἰκτροῦ τέλους τοῦ διαβοήτου Φαλάριδος τῆς Ἠπείρου Ἀλῆ πασᾶ τοῦ Τεπελενιώτου.

1209.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ, 0,22, πλάτ. 0,16, ἐκ φύλλων συγκείμενον 158. Ἐπιγέγραπται: «Βιβλίον καλούμ. Ζοὴ τοῦ βασιλέου Φράνσας, ἡς τὸ ὠπῆον. βηβλήον. ἐβρῆσκοντε. τηπομένα ἀπὸ τὸν γγκερον. τοῦ βασηλὲὸς. Κοσταντῆνου. καὶ ἀλονον πολον ρῆγαδον. πρὴτζηπον κωντάκηδον. καὶ ἀρχόντον καὶ πρὸτοσπαθαρῆον τὴς Φράντζας. καὶ ἐος τὸν γγκερον. τοῦ κοντε. Ὡρλάντε. Ἀνγγκλὰντε. — Ἐκοπηαρήςτη· ενοὺτο τὸ βηβλῆον. ὑποχηρὸς Παναγιώτου. Κόνταρη. 1775. — Κορφοῦς».

1210.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,19, πλάτ, 0,13, κατὰ τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 142, ἐλλιπὲς ὅμως ἐν τῷ τέλει. Περιέχει: Τὰ ὀκτὼ Βιβλία τῶν τῆς Μετὰ Μάρκον βασιλείας ἱστοριῶν τοῦ Ἡρωδιανοῦ, μετὰ σποραδικῶν σημειώσεων περὶ τὴν ᾤαν.

1211 — 1214.

Τὰ ἐκ χάρτου κοινοῦ τέσσαρα ταῦτα τεύχη, ἰσομεγέθη ὄντα, ἤτοι μήκ. 0,22, καὶ πλάτ. 0,17, ἀπαρτίζουσιν ἓν σύνταγμα, οὗ ὁ πρῶτος τόμος σύγκειται ἐκ φύλλων 165, ὁ δεύτερος ἐκ φύλλων 279, ὁ τρίτος ἐκ φύλλων 327 καὶ ὁ τέταρτος ἐκ φύλλων 122. Φέρουσι δὲ ἐπιγραφήν: «Ἀπόπειρα εἴτ' οὖν Δοκίμιον περὶ τῶν ἠθῶν καὶ νοὸς τῶν ἐθνῶν καὶ περὶ τῶν κυριωτέρων πράξεων τῆς ἱστορίας ἀπὸ τοῦ Καρόλου Μάγνου μέχρι τοῦ Λουδοβίκου ΙΓ' μεταφρασθεῖσα ἐκ τῆς γαλλικῆς διαλέκτου εἰς τὴν ἡμετέραν ἁπλῆν παρὰ Ν. Κ. ΒΒ» [Νικολάου Καραζᾶ Βοεβόδα]. Γέγραπται δὲ περὶ τελευτῶσαν τὴν ΙΗ' ἑκατονταετηρίδα.

1215—1216.

Τὰ ἐκ χάρτου κοινοῦ δύο ταῦτα τεύχη μήκ. 0,27, πλάτ. 0,21, ὧν τὸ μὲν πρῶτον σύγκειται ἐκ φύλλων 327, τὸ δὲ δεύτερον ἐκ φύλλων 388, γεγραμμένα ὄντα μεταξὺ τοῦ ϟωιγ'—ιδ', ὡς ἐνιαχοῦ φέρεται σεσημειωμένον, περιέχουσιν Ἀδήλου: Γενικὴν ἱστορίαν εἰς δύο μέρη διῃρημένην καὶ εἰς βιβλία ΙΘ', ἧς προτέτακται: Εἰσαγωγὴ περὶ τῆς μελέτης τῆς ἱστορίας. Ἔστι δὲ τὸ πόνημα, ὡς εἰκάζομεν, τινὸς τῶν τῆς ἐν Κωνσταντινουπόλει μεγάλης τοῦ Γένους Σχολῆς διδασκάλων.

1217.

Τεῦχος ἐκ χάρτου βαμβακίνου μήκ. 0,22, πλάτ. 0,16, κατὰ τὴν ΙΓ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 176, ἀλλ' ἐλλιπὲς τῆς ἀρχῆς, ἑνὸς φύλλου ἐκπεσόντος. Περιέχει: Κωνσταντίνου τοῦ Μανασσῆ τὴν Χρονικὴν ἱστορίαν ἀρχομένην ἀπὸ τοῦ στίχου 39, ἣ παρέπονται ἐν τέλει καί τινα περικεκομμένα καὶ ἀσυνάρτητα.

1218.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,22, πλάτ. 0,16, ὑπὸ δύο χειρῶν, παλαιοτέρας καὶ νεωτέρας, γεγραμμένον, τῆς μὲν περὶ τὴν ΙΖ' ἀρχομένην ἑκατονταετηρίδα, τῆς δὲ κατ' ἀρχομένην τὴν ΙΘ', ἐκ φύλλων δὲ συγκείμενον 226, ὧν τὸ πρῶτον ἐξερρύη. Περιέχει: Ἀθανασίου Σκληροῦ τοῦ Κρητὸς Θρῆνον ἐν ἰαμβείοις στίχοις ἐπὶ τῇ κατακτήσει τῆς ἑαυτοῦ πατρίδος ὑπὸ τῶν Τούρκων, ἀρχόμενον ἀπὸ τοῦ στίχου 48. Ἡ παλαιοτέρα γραφὴ τοῦ τεύχους φαίνεται ἰδιόχειρος τοῦ συγγραφέως. Ἐκδέδοται δὲ τὸ ποίημα τοῦτο ὑπὸ τοῦ Κ. Ν. Σάθα τῷ 1867 ἐν τόμῳ Β' τῶν Ἑλληνικῶν Ἀνεκδότων αὐτοῦ.

1219.

Τεῦχος ἐκ χάρτου κοινοῦ μήκ. 0,21, πλάτ. 0,16, περὶ τελευτῶσαν τὴν ΙΗ' ἑκατονταετηρίδα γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 161. Ἐπιγέγραπται: «Θέατρον Πολιτικὸν, εἰς τὸ ὁποῖον περιέχεται ἀκριβὴς συμβουλὴ τί πρέπει νὰ κάμῃ καὶ ἀπὸ τί νὰ ἀπέχῃ ὁ ἡγεμών». Περιέχει Η' μόνον κεφάλαια ἀντὶ τῶν Λ', ἐξ ὧν σύγκειται τὸ τύποις ἐκδεδομένον. Ἔστι δὲ τὸ ποίημα τοῦ ἡγεμόνος Νικολάου Μαυροκορδάτου υἱοῦ Ἀλεξάνδρου τοῦ ἐξ Ἀποῤῥήτων ἐκ τῆς Λατινίδος εἰς τὴν κοινὴν γλῶσσαν μετενεχθέν.

1220.

Τεῦχος ἐκ χάρτου ῥωσσικοῦ μήκ. 0,32, πλάτ. 0,21, κατὰ τὸ ϟψοϛ' ἔτος γεγραμμένον, ἐκ φύλλων δὲ συγκείμενον 81. Ἐπιγέγραπται: «Πνευματικὸς Κανονισμὸς χάριτι καὶ οἰκτιρμοῖς τοῦ φιλανθρώπου θεοῦ σπουδῇ καὶ κελεύσει θεοσδότου καὶ θεοφωτίστου πανεκλαμπροτάτου, κραταιοτάτου κυρίου Πέτρου τοῦ Α' ἰμπεράτορος καὶ αὐτοκράτορος πασῶν τῶν Ῥωσσιῶν κτλ. κτλ. κτλ. ἐν τῇ ἁγίᾳ ὀρθοδόξῳ ῥωσσικῇ Ἐκκλησίᾳ συναινέσει τε καὶ προτροπῇ τοῦ παρ' ῥωσαικοῦ πνευματικοῦ τάγματος καὶ τῆς διοικούσης Συγκλήτου ἐν τῇ βασιλευούσῃ Πετρουπόλει, ἔτει τῆς τοῦ Χριστοῦ γεννήσεως ϟψκα' μηνὶ Φεβρουαρίῳ ἡμέρα ιδ' συντεθεὶς, τανῦν δὲ προστάγματι τῆς εὐσεβεστάτης καὶ αὐτοκρατορικωτάτης μεγάλης κυρίας ἡμῶν ἰμπερατορίσσης Ἀικατερίνης Ἀλε-

